22 γουσαν ἐπιστροφήν. ὁ γὰρ τοιοῦτος ἐν μὲν ταῖς
23 ἀγωγαῖς δυσέπακτος καὶ βίαιός ἐστιν, ἐν δὲ ταῖς
24 ἀφέσεσιν ἀσθενὴς καὶ ἄτονος, ὡς ἂν τῆς πλεο-
25 ναζούσης ἐπιστροφῆς ἐς τὴν εἰκάζουσαν τάξιν
26 καὶ ἀνειμένην ἀναχωρούσης. τὸ δ' ἐξ ἀρχῆς εἰς
27 ὀρθὸν πάλιν ἐκτεῖναι τὸν τόνον μεγάλης ἀσχολίας
28 προσδεῖται καὶ οὐ τηλικαύτην προσάξει ὠφέλειαν,
29 ἡλίκην βλάψει τοὺς τόνους ἐκλύων καθ'
30 ἕν τε διεκμηρυόμενος κῶλον καὶ πάλιν αὐτὸ
31 ποιῶν ἐπὶ τῆς ἐντάσεως. ὅθεν ἀπογνόντες οἱ πλεῖστοι
32 χρῶνται τοιούτοις ὑπάρχουσιν, οἵοις ἀνώτερον εἰ-

---

5 'στρατείαις; item p. 72,18 στρατείαις restituendum, p. 89,8 στρατείας' Bue | 9 τόνος V (ν in ras.) | 12. 13 μὴ δὲ V | 13 εὐθείαν PV | ἐπέντασιν Koe | 14. 15 τὴν καθήκουσαν ἐπιστροφήν Koe τῆς καθηκούσης ἐπιστροφήν Br ⟨πλείονα⟩ τῆς καθηκούσης ἐπιστροφῆς Die | 16 μεγάλα VE | 17 λέγω] 'f. πολλῷ' Ha | τὴν τοξείαν] τήν τε ἀξίαν P (cum duobus punctis supra ά repetitis in mg. P) V 'οἶμαι τοξείαν' Pr mg. | βραχυτέραν Koe | 20 ⟨τὸν τόνον⟩ τοῦ Koe | 21 ⟨τοῦ⟩ κατὰ Koe | ἐστερεῖσθαι PV corr. R | 25 εἰκάθουσαν Pr εἴκουσαν Bue | τάξιν] τάσιν Th mg | 27 ἐπιτεῖναι Koe | 29 ἡλίκον Bue | βλάψει ⟨τις⟩ Koe; f. βλάψιν ⟨ὁ⟩ | 30 ταὐτὸ Koe | 31 ποιῶν ⟨τῷ⟩ ἐπὶ Koe

58 ῥήκαμεν. 19. ἃ μὲν οὖν ἄν τις καταιτιάσαιτο τῶν ὑπαρ-
34 χόντων ὀργάνων, ἐπὶ κεφαλαίου ταῦτ' ἐστίν· τὰ
35 δὲ κατὰ μέρος ἐπὶ τῆς ὄψεως αὐτῶν μάλιστ' ἄν τις
36 ἐπιδεῖξαι δύναιτο. πλὴν μέντοι ἐγκωμιαστέον
37 ἐστὶν τοὺς ἐξ ἀρχῆς εὑρόντας τὴν τῶνδε τῶν ὀρ-
38 γάνων κατασκευήν· καὶ γὰρ τοῦ πράγματος καὶ
39 τοῦ σχήματος ἀρχηγοὶ γεγόνασι, κατὰ πάντων τε
40 τῶν ἄλλων βελῶν ὑπερβολὴν εὗρον μήκει
41 τε τοξείας καὶ βάρει τῶν βαλλομένων, λέγω δὲ
42 οἷον κατά τε τόξου καὶ ἀκοντίου καὶ σφενδό-
43 νης. καὶ γὰρ τὸ μὲν ἐξ ἀρχῆς ἐπινοῆσαί τι
44 καὶ τὸ κατὰ τὴν ἐπίνοιαν ἐξεργάσασθαι
45 μείζονος φύσεώς ἐστιν· τὸ δὲ εἰς διόρθωσιν ἢ
46 μετάθεσιν ἀγαγεῖν τὸ ὑπάρχον εὐχερέστε-
47 ρον εἶναι δοκεῖ· πλὴν πολλῶν σφόδρα ἐτῶν διελη-
48 λυθότων, ἀφ' οὗ τὴν σύνταξιν εὑρῆσθαι τήνδε συμ-
49 βαίνει, καὶ πολλῶν γεγονότων, ὅπερ εἰκός, καὶ
50 μηχανικῶν καὶ βελοποιῶν, μηθένα τετολμηκέναι
51 παρεκβῆναι τὴν ὑποκειμένην μέθοδον. 20. πρῶτοι
59 δ' ἡμεῖς τοῦτο ποιήσαντες πολλὰ παραδεδώκα-
2 μεν εὔχρηστα, περὶ ὧν τὴν ἐπίγνωσιν ἕξεις διὰ τῶν
3 μελλόντων λέγεσθαι. ποιησόμεθα δὲ καὶ ἀπολογισμὸν
4 κατὰ τὴν τῶν κεφαλαίων ἔκθεσιν περὶ τοῦ πρώ-
5 του πρῶτον λέγοντες.

Ἦν δὲ ἡμῖν ἡγούμενον ⟨τὸ⟩ περὶ τοῦ μα-
6 κροβολεῖν. φημὶ δὴ τοὺς κατασκευασθέντας κατα-
7 πάλτας διὰ τῆς παρ' ἡμῶν παραδιδομένης μεθό-
8 δου κατὰ μέγεθος ἕκαστον συμβαλλόμενον πρὸς τὸ
9 ἀρχαῖον τοξεύειν μείζονα· λέγω δὲ τρισπιθάμου
10 μὲν πρὸς τὸ τρισπίθαμον συμβαλλομένου, διπή-
11 χους δὲ πρὸς δίπηχυν, πενθημισπιθάμου δὲ
12 πρὸς τὴν ὁμοίαν σύνταξιν. ἐμφαν⟨ι⟩οῦμεν δέ σοι

---

34 ὑπαρχόντων τῶι ὀργάνωι PVE (in V supra —ν τῶι appictum ·:· cf. p. 71,25; in E τωι ὀργάνω :) corr. Ha Koe | ἐπικεφαλαίου V | ἔστιν P | 36 ἐπιδεῖξαι PV | 40 μελῶν PV corr. R | 43 ἐπινοῆσαι] ad ἐπι in P appictum +, repetitum in mg | 50 μὴθ' ἕνα PV | 51 μέθοδον; P(,f. ab alia m.) 'f. μέθοδον ⟨δικαίως ἄν τις θαυμάσειεν⟩' Br | 2 περιῶν PV | 5 ⟨τὸ⟩ add. Koe | 7 δἰὰ P | παραδεδομένης V | 8 τὸ] f. τὸν | 10 τὸ] f. τὸν vel del. | 11 πενθ'ἡμισπιθάμου P (πενθήμ.) V πεντεσπιθάμου Koe | 12 ἐμφαινοῦμεν PV ἐμφανοῦμεν Pr corr. Bue coll. 49,18

59 τὸ προειρημένον γινόμενον, ὡς ἡμεῖς φαμεν, συνι-
14 στάντες διά τε τῶν μηχανικῶν ἀποδείξεων καὶ
15 τῶν φυσικῶν λόγων, οἷς εὖ ποιήσεις προσσχὼν καὶ
16 πάνυ ἑαυτὸν ἐπιστήσας. 21. ἐπεὶ γὰρ οἱ μείζονες κύ-
17 κλοι κρατοῦσιν τῶν ἐλασσόνων τῶν περὶ ⟨τὸ⟩ αὐτὸ κέν-
18 τρον κειμένων, καθάπερ ἐν τοῖς μοχλικοῖς ἀπε-
19 δείξαμεν, διὰ δὲ τὸ ὅμοιον καὶ τοῖς μοχλοῖς ῥᾷον
20 κινοῦσι τὰ βάρη, ὅταν ὡς ἐγγύτατα τοῦ βάρους
21 τὸ ὑπομόχλιον θῶσιν — ἔχει γὰρ τὴν τοῦ κέντρου τά-
22 ξιν· προσαγόμενον οὖν πρὸς τὸ βάρος [δὲ] ἐλασσοῖ
23 κύκλον, δι' οὗ τὴν εὐκινησίαν συμβαίνει γίνεσθαι —· τὸ
24 αὐτὸ δὴ νοητέον ἐστὶ καὶ περὶ τὸ ὄργανον. ὁ γὰρ
25 ἀγκὼν ἐστι μοχλὸς ἀντεστραμμένος· ὑπομόχ-
26 λιον μὲν γὰρ γίνεται τὸ ἓν ⟨. . . . .,⟩ μέρος αὐτοῦ, ἡ δὲ
27 τοξῖτις νευρὰ τὸ βάρος, ἥ τις ἐξ ἄκρου τοῦ ἀγκῶνος
28 ἐχομένη τὸ βάρος ἐξαποστέλλει. ἐὰν οὖν τις τὸν
29 τόνον ὅτι πλεῖστον ἀπ' ἀλλήλων διαστήσας ἀπὸ τῆς
30 πτέρνης θῇ, δηλονότι τὸ μὲν ὑπομόχλιον ἔγ-
31 γιον ἔσται τοῦ βάρους, ἡ δὲ δύναμις μακροτέ-
32 ραν ἀπὸ τοῦ ὑπομοχλίου· τούτου δὲ γενομένου συμβή-
33 σεται τὴν ἐξαποστολὴν τοῦ βέλους σφοδρὰν
34 καὶ βίαιον γίνεσθαι. 22. ὁρῶν οὖν ἐν τοῖς προϋπάρ-
35 χουσιν ὀργάνοις καταλλήλους πίπτοντας τοὺς τό-
36 νους, καὶ νοοῦντας μὲν τοὺς πλείστους ⟨τῶν⟩ ἀρχι-
37 τεκτόνων, ὅτι τὸ λυμαινόμενον τὴν τοξείαν
38 τοῦτό ἐστιν, ἀδυνατοῦντας δὲ μεταθεῖναι διὰ τὸ
39 φυσικῶς ἐν τῇ συντάξει τοῦτον ὑπάρχειν τὸν
40 τρόπον καὶ ἄλλως ἂν μὴ δύνασθαι μεταχθῆναι,
41 ἐπειράθην καὶ διὰ τοῦτο καὶ διὰ τὰ λοιπὰ τὰ
42 προσόντα τῇ συντάξει δύσχρηστα μεταθεῖναι
43 τὸ σχῆμα καὶ τὴν ὅλην διάθεσιν, ὅπως ὃν ἐγὼ βου-

15 ποιήσει PV corr. Pr | προσσχῶν P | 16 οἱ μείζονες κ. κτέ.] cf. Hero Dioptr. p. 334, 23 Vinc; Pappus p. 1068,20 Hu. | 17 ⟨τὸ⟩ add. Ha | 18 κέντρων PV | 18. 19 ἀπεδεῖξαμεν P | 19 δὲ del. Koe | ῥᾶον PV | 20 ὡς] εἰς PV corr. Ha | 22 [δὲ] del. Koe | 25 μοχλὸς ἀνεστραμμένος Arist. mech. 20 p. 854 a 9 | 26 f. ⟨μέρος τοῦ τόνου, δύναμις δὲ τὸ ἕτερον⟩ | 27 τοξίτις PV corr. Koe | 28 βάρος] f. βέλος | τίς PV | 28. 29 τὸν τόνον] τοὺς τόνους Koe | 29 ἀπαλλήλων PV | 31 μακροτέρα Pr μακρότερον Koe | 36 ⟨τῶν⟩ add. R | 38 ἀδυνατοῦντα PV corr. Pr | 41 διατοῦτο PV | 42 δύσχρηστα] δύο χρηστὰ PV corr. Ha Koe

59 λομαι τρόπον ἐν πᾶσιν ἀναστραφῶ μηδενὸς συμ-
45 ποδίζοντος ἡμῖν. τοῦτο μὲν οὖν μέγιστόν ἐστι τῶν εὑρη-
46 μένων ἐν τῇδε τῇ συντάξει, τοὺς τόνους μὴ καταλλή-
47 λους, ἀλλὰ παραλλήλους πίπτειν, καὶ τοῦτο μάλιστα
48 ἀναγκάζει μακροβολεῖν. ἔστιν δὲ καὶ ἄλλα πλείω ἐνερ-
49 γοῦντα, ἃ διὰ τῶν ἐχομένων παραδείξομεν.
50 23. Δεύτερον δ' ἡμῖν ἐξέκειτο ⟨τὸ⟩ περὶ τῆς
51 ἰσχύος αὐτῶν καὶ τοῦ μένειν ἐν τοῖς ἔργοις
60 ἀπαθέστερα τῶν ἄλλων. δηλώσομεν οὖν καὶ περὶ τού-
2 των συντόμως, [ἐάνπερ προ] ἐάνπερ προσέχῃς ἡμῖν. ἐπὶ γὰρ τὰ
3 τρήματα τῶν περιτρήτων χοινικίδες ἐφαρμόζονται
4 χαλκαῖ, μέσαι δ' ἐπ' αὐταῖς αἱ καλούμεναι τί-
5 θενται ⟨. . . . .⟩ καταζυγίδες σιδηραῖ, περὶ ἃς ὁ τόνος καμ-
6 φθεὶς τείνεται δι' ὅλου τοῦ πλινθίου. τὰς οὖν κατα-
7 ζυγίδας οὐ δύνανται κατὰ κρόταφον πλάτος
8 ἐχούσας ἐμβάλλειν· ἂν γὰρ αὐξήσωσι τὸ πλάτος
9 τῶν καταζυγίδων, συνελοῦσι τὴν τῶν χοινικίδων
10 χώραν, συναιρεθείσης δὲ τῆς χώρας ἐλάσσων ὁ τό-
11 νος ἐμβληθήσεται· μὴ δυναμένης οὖν κατὰ τὸ
12 δηλωθὲν τῆς καταζυγίδος πλάτος λαβεῖν ἀλλ'
13 ὑπαρχούσης κατὰ κρόταφον στενῆς συμβαίνει τὸν
14 τόνον τεινόμενον καθ' ἓν κῶλον μετὰ βίας πολλῆς
15 περὶ στενὴν καὶ σιδηρᾶν ῥάχιν συντριβόμενον
16 ἀχρειοῦσθαι· τοῦτο δὲ γίνεται μάλιστα συμφανές,
17 ὅταν πολυχρονιώτατον ὄργανον ἐκλυθῇ. δια-
18 πίπτουσι γὰρ ἐξαιρεθέντες οἱ σύνεγγυς κείμενοι
19 τόνοι τῆς καταζυγίδος· πολλάκις δὲ καὶ τὰς κα-
20 ταζυγίδας συμβαίνει κατάγνυσθαι στενὰς οὔσας, ἐὰν
21 τὸ τυχὸν σίνος ἐν τῇ χαλκείᾳ λάβωσιν· καὶ μὴν
22 οὐδὲ θεραπείας ὁ τόνος δύναται τυχεῖν ὁ περὶ
23 τὸν τόπον ὢν τοῦτον σεσαγμένος ἐν ταῖς χοινικίσι

44. 45 ἐμποδίζοντος R | 45 ἐστι V in ras. | 46 ⟨τὸ⟩ τοὺς Br | 48 ἀναγκάζειν ἀκροβολεῖν PV corr. Pr | 48. 49 'f. συνεργ.' Bue | 49. 50 παραδειδεύτερον et in mg. V[c]VE παραδει δ' εὔτερον P corr. Pr | 50 ⟨τὸ⟩ add. Bue | 2 ἐάνπερ κτὲ] cf. ad p. 77,4. 5 | προσέχης PV | 2. 3 τὰ τρήματα] τῶν τρημάτων Pr | 4 χαλκαὶ PV | 5 κατὰ ζυγίδες P (corr. Pr) ἐπιζυγίδες hic et in sequentibus usque ad v. 30 Koe, vix recte; f. αἱ καλούμεναι τίθενται ⟨ἐπιζυγίδες, ἡμῖν δὲ κληθησόμεναι⟩ καταζυγίδες; contra ἐπιζυγίδες Philoni sunt regulae ligneae v. 35; p. 65,20. 27 | 7 δύναται PV corr. Pr | κατακρόταφον V | 14 καθὲν V | 15 σιδηρὰν PV | 17 'f. πολυχρονιώτερον' Br | διαλυθῇ R | 19 τόνοι] τοιοῦτοι P | 20 στεναὶ οὖσαι VP corr. Pr | 21 σῖνος PV | 22. 23 περιτὸν P

60 μετὰ πολλῆς βίας, ὅ τε περικείμενος ἰὸς λυμαίνε-
25 ται δι' ὅλου συνοικουρῶν, ὥστε καὶ τοὺς τόνους καὶ
26 τὰ περίτρητα ναυαγεῖν περὶ τὸν τῶν χοινικίδων τό-
27 πον. 24. ὁρῶν οὖν μεγάλην γινομένην σύγχυσιν
28 περὶ τὰ περίτρητα καὶ οὐ δυνάμενα βοηθείας εὐγε-
29 νοῦς τυχεῖν, ἐπειράθην ἐκ τῆς συντάξεως αὐτὰ
30 τὸ παράπαν ἀφελεῖν, ὅπως καταζυγίδας τε, ἡλίκας
31 ἂν βουλώμεθα τοῖς πάχεσι καὶ τοῖς πλάτεσιν, ὑπο-
32 τιθῶμεν, καὶ τόνου πλῆθος ὅσον ἂν ἡμῖν δοκῇ τοσοῦτον
33 ἐμβάλλωμεν, τήν τε τῶν χοινικίδων κατασκευὴν διὰ
34 τὴν [τῶν] εἰρημένην δυσχρηστίαν περιῃρήκαμεν. ἐκ-
35 τενοῦμεν δὲ τοὺς τόνους ⟨περὶ κανόνας πρινίνους⟩ ἔχοντας πάχος ἐν τῷ
36 διπήχει οὐκ ἔλασσον δακτύλων δ', περι-
37 φερεῖς ἄνωθεν εἰργασμένους πρὸς τὸ μὴ γίνεσθαι
38 σύντριψιν περὶ σιδηρᾶς καὶ στενὰς κλωμένων
39 καταζυγίδας, ἀλλὰ καθίζωσι περὶ πλατὺν καὶ
40 μαλακὸν τόπον· ὑπὸ δὲ τοὺς κανόνας ὑποθήσομεν
41 καταζυγίδας σιδηρᾶς πλάτος μὲν ἐχούσας ἴσον
42 τοῖς κανόσι, πάχος δὲ οὐκ ἔλασσον ἐν τῷ διπήχει δα-
43 κτύλων γ'. περιῃρηκότες οὖν ἐκ τῆς κατασκευῆς
44 τὸ παραδειχθὲν ἀσθενέστατον καὶ περὶ τοῦ τόνου πε-
45 φροντικότες, ὅπως μηθὲν δεινὸν πάσχῃ μήτε κλώ-
46 μενος μήτε σασσόμενος καὶ ἔχων πλησιάζοντα τὸν
47 ἰόν, τάς τε καταζυγίδας εὐπαλάμους καὶ ἀσυντρί-
48 πτους πεποιηκότες, παραδεδείχαμεν ἰσχυρά τε ὑ-
49 πάρχοντα τὰ ὄργανα καὶ μένοντα ἐν ταῖς τοξείαις ἀ-
50 παθέστερα παρὰ πολὺ τῶν ἄλλων.

25. Τρίτον δὲ ἐπηγγει-
51 λάμεθα παραδείξειν εὐκατασκεύαστα καὶ οὐ πολλῆς
61 προσδεόμενα ψηλαφίας. σύνες οὖν καὶ τοῦτο
2 ὑπάρχον, οἷον λέγω· παρὰ πᾶσι γὰρ τοῖς τὸ γέ-

---

28 περίτρητα] τρητὰ PV corr. Pr mg | 32 τόσοῦτον P | 33 ἐμβάλωμεν PV corr. Bue | 34 τὴν τῶν εἰρημένων PVE corr. Koe | περιηρήκαμεν PV | 35 ἐκτελοῦμεν R Koe | ⟨περὶ κανόνας πρ.⟩ add. Br | 36 διπήχει] τοῦ πήχεος PV corr. Koe | f. post δακτύλων δ' inserendum ⟨πλάτος δὲ δακτύλων β'⟩ coll. v. 41 et p. 65,3. 21 | 39 ⟨τῶν τόνων⟩ καταζ. Koe | ἀλλὰ] f. ἀλλ' ἵνα | 41 σιδηρὰς PV | ἔχοντας PV corr. R; an hoc et similia toleranda? cf. Reiske animadv. ad Polyb. p. 390 Lobeck. Agl. p. 216 | 43 περιηρηκότες PV corr. R | κατασκευῆς] in V sub priore κ punctum | 44 ἀσθενέστατον ⟨ὂν⟩ Br cf. p. 50,21; 59,13; 60,48; 61,2.29; 69,9 | 46 καὶ] f. ἢ | 47 κατὰ ζυγίδας P | 50 παρα PV | 51 παράδειξιν PV corr. R | ἐγκατασκεύαστα PV corr. Ha

61 νος μεταχειριζομένοις ὁμολογεῖται πλείστην ἔ-
4 χειν ἀσχολίαν καὶ ψηλαφίαν ἡ τοῦ περιτρήτου
5 καὶ τῶν χοινικίδων κατασκευὴ καὶ ἡ δέσις· τού-
6 των οὖν πάντων περιῃρημένων εἰκότως εὐκα-
7 τασκευαστότερά τέ ἐστι τῶν ὑπαρχόντων καὶ δα-
8 πάνην ἐλάσσονα ἔχοντα.

26. Τέταρτον δ' ἦν ἡμῖν
9 τὸ περὶ τὴν ἐξάρτυσιν ὑποκείμενον, περὶ οὗ
10 ῥητέον ἐξ ἀρχῆς. φημὶ γὰρ ἐξαρτύσειν, ἐν ὅσῳ
11 ἓν τῶν ἄλλων ὀργάνων ἐξαρτύεται διὰ τοῦ
12 ἐντονίου, ἐγὼ τοῖς ἴσοις ὑπουργοῖς χρησάμε-
13 νος ἐντονίῳ, περιτιθεὶς δὲ τὸν τόνον ἀπὸ χειρὸς
14 ἀπαθῆ, προσάγων οὔτε κέστρας οὔτε ῥαφίδας
15 οὔτε ἀπολάβειον οὔτε ἄλλο τοιοῦτον οὐθέν, δι' ὧν
16 εἴωθεν ὁ τόνος βλάπτεσθαι, καὶ οὐ καθ' ἕνα
17 τῶν στημόνων ἐκτείνειν ὑπαγόμενος ἀφρά-
18 κτους καὶ οὐχ ὁμοτονούσῃ τῇ τάσει, ἀλλὰ περι-
19 θεὶς τοὺς στήμονας ἅπαντας ἀπὸ χειρὸς τότε ἅ-
20 μα ἐκτείνειν ἴσως καὶ ὁμοτονούντως ἀλλήλοις,
21 χρώμενος πρὸς τὴν ἔνστασιν βίᾳ τῇ μεγίστῃ δε-
22 δειγμένῃ διὰ τῶν μοχλικῶν, ἐπιστροφήν τε δώσειν
23 τὴν ὑπάρχουσαν κατὰ φύσιν κρατίστην, μένουσαν
24 δι' ὅλου καὶ μεταπεσεῖν οὐθενὶ τρόπῳ δυναμένην·
25 27. ἐπεὶ δὲ καὶ ἐν ταῖς συνεχέσι τοξείαις συμβαίνει,
26 καθότι δεδηλώκαμεν, ἀνέσεις γίνεσθαι τοῦ τόνου διὰ
27 τὰς πυκνὰς καταγωγάς, ἐπεντείνειν παραχρῆμα
28 μὴ ἐπιστροφὴν διδούς — τοῦτο μὲν γὰρ ἐδείξαμεν
29 βλαβερὸν ὑπάρχον —, ἀλλὰ κατὰ φύσιν εἰς ὀρθὸν ἐν-
30 τείνων τοὺς στήμονας πάντας ἅμα, καθάπερ ἐξαρ-
31 τυομένου τὴν ἀρχὴν ἐξετάθησαν. ἡ μὲν γὰρ πλείων
32 ἐπιστροφὴ τῆς καθηκούσης ὅτι μεγάλα κακὰ ἀ-

3. 4 ἔχον PV corr. Bue | 6 περιηρημένων V | 6. 7 εὐκατασκευαστότερά] in V ambigitur utrum sic an ἀκατασκ. scriptum sit | 7 τέ] τί P | 10 ἐξάρτυσιν PV ἐξαρτύειν Koe | 12 ⟨μὴ⟩ χρησ. Koe | 13 in mg. V ϊ | 'ἐντονίῳ pendet ex ἴσοις' Bue | 15 ἀπελάβειον PV corr. Th | 17 τοὺς στήμονας Koe | ἐκτείνειν] f. ἐκτενεῖν | ἀφράκτους] ἀωράτους PV corr. R | 18 ὁμοτονούσῃ] ὁμοτόνους Pr f. recte | 20 ἐκτείνειν] f. ἐκτενεῖν | ὁμότονουντως P corr. Pr | 21 χρωμένοις PV corr. Koe | ἔντασιν R | βία· PV | 22 δεδειγμένη PV | 23 κρατίστην, Bue | μὲν οὖσαν PV corr. Br | 24 διδλου PV | τρόπω V | 27 ἐπ' ἐντείνειν P f. ἐπεντενεῖν | 30. 31 ἐξαρτυόμενοι Koe | 32 κακὰ] accentus in ras. V

61 περγάζεται, καὶ παρὰ τοῖς ἄλλοις πᾶσιν ὁμολογεῖται,
34 καὶ ἡμεῖς δὲ ἐν τοῖς ἀνώτερον ἀπεδείξαμεν σαφῶς.
35 φημὶ δὲ καὶ εἰς θέσιν πολυχρόνιον ἀποκαταστήσειν
36 ἐκλύσας ἢ ἐξελὼν ἐκ τῶν ὀργάνων τοὺς τόνους πρὸς
37 τὸ δύνασθαι λιπάναντας αὐτοὺς καὶ θέντας ἐν ἐλύ-
38 τρῳ τηρεῖν· τὸ γὰρ ἔλαιον τρέφει τὸ νεῦρον, ὅταν εἰς
39 ἄνεσιν ἔλθῃ· ταθὲν δὲ οὐκέτι προσδεήσεται λί-
40 πους, ἀλλὰ καὶ τοῦ συμπε[μ]πομένου πρότερον ἐκ-
41 θλίβει τὸ πλεῖστον. ἐκλύσω δὲ τὸ ὄργανον οὐ
42 πλείονι χρόνῳ μιᾶς ὥρας. τὰ μὲν οὖν περὶ τὴν
43 ἐξάρτυσιν ταῦτ' ἐστίν.

44 28. Πέμπτον δ' ἦν ἡμῖν τὸ περὶ τῆς ὄψεως αὐ-
45 τῶν προκείμενον· καὶ γὰρ ταύτην ἐφήσαμεν μὴ
46 ἥσσονα τῶν ἀρχαίων αὐτὰ ἕξειν. σύριγγα μὲν οὖν
47 καὶ βάσιν καὶ χελώνιον, ἔτι δὲ ὀνίσκον καὶ σκυ-
48 τάλας ποιοῦμεν ὅμοια τοῖς ὑποκειμένοις, λέγω
49 δὲ τοῖς ἀρχαίοις, εἰ μή τι μικρὰ παρεμβαίνον-
50 τες τὰ κατὰ τὴν ἀγωγήν· δεῖ γὰρ αὐτὴν ὀχυ-
51 ρωτέραν ὑπάρχειν τῶν ὅλων ἰσχυρῶν καὶ
62 εὐτόνων γεγενημένων. λοιπὸν τὰ περὶ τὸ πλιν-
2 θίον τῇ ὄψει διαλλάσσειν. νόησον οὖν τῶν ἀρ-
3 χαίων ὁρᾶν τι πλινθίον, καὶ τοὺς μὲν παραστά-
4 τας καὶ τοὺς μεσοστάτας καὶ [τοὺς] παρ' ἡμῖν
5 ὁμοίους ὑπάρχειν, ἀντὶ δὲ τοῦ περιτρήτου παρ'
6 ἡμῖν ἐπικεῖσθαί τι καθάπερ ἐπιστύλιον, ὀρθὰς ἐξ
7 ἀμφοτέρων ἔχον τὰς μακρὰς πλευράς — ἐπὶ μὲν
8 γὰρ τῶν ἄλλων περιαγὴς ἡ μία γίνεται —· τοῦτο
9 δὲ ἔστω ἢ πτελέϊνον ἢ μελέϊνον ἢ οἷον ἄν τις
10 ἕληται ποιεῖν τῆς ὄψεως ἕνεκεν, ὕψος τῷ πε-
11 ριτρήτῳ ἴσον, καὶ ἐπάνω τούτου περιτρέχειν
12 κυμάτιον πύξινον διπλοῦν· τοῦτο δὲ τὸ σχῆμα
13 καλύμματος ἕνεκεν ὑπάρχειν μηθὲν συμπο-

---

34 ἀπεδεῖξαμεν P | 36 ἢ] καὶ Koe | 39 ἔλθῃ· PV | οὐκ' ἔτι P | 40 συμπεμπομένου PV corr. Pr Bue | 43 ἔστιν PV | 46 ἕξειν PV | 49 παρεκβαίνοντες Th sed cf. p. 62,51 nisi ibi quoque corrigendum; cf. p. 57,10 | 50. 51 ὠχυρωτέραν PV | 51. 1 ἰσχυρὰν καὶ εὔτονον Pr | 1 γεγενημένην P | 2 διαλάσσειν PV | 3 καὶ τοὺς] in ras. V | 4 post μεσοστ. Pr add. ⟨αὐτοῦ⟩ quod recepit Koe | 5 ἀντι PV | 8 περιαυγὴς PV corr. Pr | 9 πελέϊνον P corr. Pr | μηλέϊνον PV | 10 ἕληται PV | 11 ἴσον] εἰς ὃν PV 'οἶμαι ἴσον' Pr mg | 13 ὑπάρχει Ha

62 νοῦν· καὶ γὰρ ἀφαιρεῖσθαι δύναται περο-
15 νίων τινῶν λυθέντων, ὅταν θέλωμεν. νόει δὲ καὶ
16 τὰς μέσας χώρας τῶν παραστατῶν καὶ μεσοστα-
17 τῶν ἐμπεφραγμένας οὖσας, ὥστε τὸν μὲν τόνον
18 κρύπτεσθαι καὶ μηδαμόθεν αὐτὸν ἐκ τῶν ἔμ-
19 προσθεν βλέπεσθαι, τὸ δὲ πλινθίον μήτε
20 χοινικίδας μήτε ὑποχοινικίδας μήτε κατα-
21 κλεῖδας ἐπικειμένας ἔχον [βλάπτεσθαι] μήτε
22 ἄλλην τραχύτητα μηδεμίαν ποιοῦν, ἀφελὲς
23 δὲ φαινόμενον καλὴν τὴν ὅρασιν ἀποδιδόναι.
24 προφανῆ δέ σοι καὶ τὴν ὄψιν αὐτοῦ θήσομεν ἐπ'
25 ἐσχάτῳ σχηματογραφήσαντες.

29. Λοιπὸν ἡμῖν λεί-
26 πεται περὶ τοῦ ἀναλώματος ἀποδοῦναι· καὶ γὰρ
27 τοῦτο ἐφήσαμεν ἔλασσον ποιήσειν. ἔστιν δὲ καὶ εὐα-
28 πόδεικτον πάνυ· περιέσταλται γὰρ ἡμῖν πᾶν τὸ
29 τῆς δέσεως τῶν περιτρήτων καὶ τὸ τῶν χοινικίδων,
30 ὅ ἐστιν τοῦ διπήχους οὐκ ἔλασσον δραχμῶν
31 ὀγδοήκοντα· καίτοι γε καὶ εἰ δεκαπλοῦν ἐποιοῦ-
32 μεν τὸ ἀνάλωμα, πολλῷ μᾶλλον αἱρετώτερ' ἂν
33 ταῦτ' ἦν τῶν ἀρχαίων· τὸ γὰρ μακροβολεῖν τοῦ
34 παντὸς ἄξιον διαφόρου.

Πεποιημένος οὖν τὸν
35 ἀπολογισμὸν περὶ πάντων ὅσα δοκεῖν σαφῶς
36 καὶ παραδεδειχὼς τά τε περὶ τοὺς ἀρχαίους
37 καταπάλτας ὄντα δυσχερῆ καὶ τὰ
38 δι' ἡμῶν εἰς μετάθεσιν ἠγμένα, πειράσομαι
39 διὰ τῶν ἑξῆς τὴν κατασκευὴν αὐτῶν σοι δη-
40 λῶσαι. 30. τὰ μὲν οὖν περὶ τὴν σύριγγα καὶ τὴν
41 βάσιν καὶ τὸ χελώνιον εἴρηται, διότι τοῖς αὐ-
42 τοῖς χρηστέον· αὐτὸ δὲ τὸ πλινθίον μετατίθε-
43 μεν· ἐν γὰρ τούτῳ τὰ ὅλα τοῦ μακροβολεῖν

16 χώρας om. P | 19 βλέπεσθαι] λέγεσθαι PV 'οἶμαι βλέπεσθαι' Pr mg | 21 ἔχον om. V | [βλάπτεσθαι] ad aspectum plinthii refert Va; del. Br tanquam correcturam ad v. 19 λέγεσθαι adscriptam | 22 μήδεμίαν PV | ἀφελεῖς PV corr. Th 'οἶμαι ἂν θέλῃς' Pr mg | 24 δέ del. Pr. | 24. 25 ἐπεσχ. PV | 26 περιτοῦ P | 29 δόσεως PV corr. Ha cf. p. 61,5 | 30 ἔλασσον] prima littera cum ras. V | 32 πολλῶ PV | 32. 33 αἱρετωτέραν ταύτην PV αἱρετώτερα ταῦτα Pr corr. Br et H. Schoene | 33 μακροβελεῖν PVE | 36 παραδεδειχῶς V | 42 πλιθίον P | 43 ἐρ γὰρ P

62 χεῖται. δεδηλώκαμεν δὲ καὶ περὶ τῶν περιτρήτων,
45 φάμενοι μὴ συμπαραλαμβάνειν αὐτὰ εἰς [αὐ]τὴν
46 κατασκευήν, ὅθεν ταῦτα μὲν κατὰ τὸ
47 παρὸν παρήσω· παραστάτας δὲ πρῶτον ἐργα-
48 σόμεθα πλάτος μὲν καὶ πάχος ἔχοντας τὸ ἴσον
49 τοῖς ἀρχαίοις, μήκει δὲ μείζονας. μὴ ὑπο-
50 λάβῃς δέ, διότι μείζονας τῷ μήκει ποιοῦν-
51 τες παρεμβησόμεθα τὴν τοῦ μεγέθους σύν-
63 ταξιν· μάθε δ' οὕτως· τῶν [σύνταξιν] γὰρ ἀρχαίων
2 ὀργάνων, ὅσα κατὰ τὴν αὐτὴν σύνταξιν πεποίη-
3 ται, τοῦ τρισπιθάμου τὸ πλινθίον μῆκος μὲν
4 ἔχει συμμετρουμένων τῶν περιτρήτων παλαι-
5 στὰς ε' δακτύλους γ', πλάτος δὲ συμμε-
6 τρουμένων πάλιν τῶν παραστατῶν παλαιστὰς γ'
7 καὶ δακτύλους β'· ἔπεισι δ' αἱ χοινικίδες ἐπὶ
8 τῶν περιτρήτων ἐπιτείνουσαι τὸν τόνον. ἡμεῖς δὲ
9 χοινικίδας οὐκ ἐπιτίθεμεν, ποιήσομεν δὲ ὑψη-
10 λότερον τὸ πλινθίον τῷ τῶν χοινικίδων ὕψει· ἡ
11 γὰρ σύνταξίς ἐστι πρὸς τὸ μῆκος τοῦ τόνου· τὸ
12 γὰρ πλινθίον πρὸς τὸ τοῦ τόνου μῆκός ἐστι
13 συντεταγμένον, οὐχ ὁ τόνος πρὸς τὸ τοῦ πλιν-
14 θίου μῆκος — ἀρχὴ γὰρ καὶ ἡγούμενον ὁ τόνος·
15 τοῦ γὰρ τρήματος τοῦ δεχομένου τὸν τόνον ἡ
16 διάμετρος πάντων μέτρον [μέν] ἐστι —, καὶ ἡμεῖς
17 μὲν ποιοῦντες ὑψηλότερον, πρὸς τὸ τούτου μῆ-
18 κος συντασσόμεθα· τὰ γὰρ τῶν χοινικίδων κα-
19 τὰ τὸ ὕψος τόνον προσκατατάσσομεν. εἰ
20 δὲ ἴσον τοῖς ὑπάρχουσι πλινθίοις ποιήσομεν,
21 τῷ τῶν χοινικίδων ὕψει ⟨..........⟩. ὅθεν ἔστωσαν ὕψος ἔ-
22 χοντες οἱ παραστάται παλαιστῶν ζ' καὶ δα-
23 κτύλου. 31. παρεκτεινέτωσαν δ' ἐξ ἑκατέρου μέ-

---

45 αὐτὴν PV corr. Pr τὴν ⟨ἡμῶν⟩ Koe | 49. 50 ὑπολαβης PV | 50 δι'ὅτι P διότι V | 51 παρεκβησόμεθα Pr cf. ad p. 61,49 | 1 μάθε — 2 σύνταξιν om. VE | τῶν] sic PV τὴν Pr | γὰρ] sic P ⟨· τῶν⟩ γὰρ Pr | 7 καὶ om. P | δ' αἱ P | 14 ἀρχὴ—τόνος = Hero Bel. p. 113,4 W | καὶ om. P add. Pr | ἡγούμενον P | 17 ⟨τὸ πλινθίον⟩ πρὸς Koe | 19 ⟨τὸν⟩ τόνον R ⟨τοῦ⟩ τόνου Koe del. Br | 20 πλινθίοις] altera ι in ras. V | 21 'f. ⟨τὴν τοῦ μεγέθους σύνταξιν παρεκβησόμεθα· ὑψηλότερον ἄρα τὸ πλινθίον ποιήσομεν⟩ τῷ τ. χ. ὕ.' Br | post ὕψει semicolon in ras. V | f. ⟨ἐλάσσων ὁ τόνος ἔσται.⟩ | 23 δ' ἐξεκατέρου PV

63 ρους καθάπερ διτορμίαν ἐν παρεπιτομῇ πε-
25 ποιημένην· ἔστω δὲ τὸ μὲν ἔμπροσθεν μέτω-
26 πον χυρτὸν ἔχον, τὸ δ' ὄπισθεν αὐτοῦ κοί-
27 λην καὶ ὁμοίως συμπεριαγῇ τῇ ἐκτὸς πε-
28 ποιημένην, καθάπερ γὰρ καὶ τῶν ἀρχαίων ὀρ-
29 γάνων τὰ πλεῖστα πεποίηται. ἔστω δὲ ὑπὸ τὴν
30 ὄψιν κείμενος ὁ παραστάτης τῷ σχήματι ὑπάρ-
31 χων ὁ ὑπογεγραμμένος, ἐφ' οὗ τὸ α· καὶ
32 νοείσθω τὸ μὲν ῥηθὲν αὐτοῦ μῆκος τὸ ἀπὸ τῆς
33 γραμμῆς ἕως ἐπὶ τὴν γραμμήν, ἐφ' ὧν τὰ
34 α β. αἱ δὲ γραμμαὶ ὑπαρχέτωσαν αἱ παρε-
35 πιτομαὶ ὑπερτρέχουσαι καὶ ὑπαρχέτωσαν κατά
36 τε τὸ ὄπισθεν καὶ ἔμπροσθεν μέρος, βάθος
37 δ' ἔστω τῆς παρεπιτομῆς δακτύλου μέρη τρία·
38 τὰ δ' ὑπὲρ τὴν γραμμὴν ὑπεραίροντα
39 ἐφήσαμεν εἶναι καθάπερ διτορμίαν τὰ ἐφ'
40 ὧν τὰ γ. ἐχέτω δὲ πλάτος ὁ μὲν πα-
41 ραστάτης παρὰ τὰς ἐπιτομὰς ἐπιμετρούμενος
42 δακτύλων ζ' καὶ ἡμι[συ]δακτυλίου· ἐκ μέ-
43 σου δὲ κατὰ τὸ κύρτωμα δακτύλων ἑπτὰ
44 καὶ δύο τρίτων, πάχος δ' ἐχέτω δακτύλων
45 τριῶν καὶ ἡμίσους. ἐχέτω δὲ ἐπὶ τῆς ἔμ-
46 προσθεν τῆς κυρτῆς λεπίδα νωτιαίαν ἐπικει-
47 μένην πλάτος ἔχουσαν σύμμετρον, καὶ ἥλους
48 διειμένους διά τε τῆς λεπίδος καὶ τοῦ πα-
49 ραστάτου κατὰ τὰς εὐθείας, ἐφ' ὧν τὰ δ· καὶ ἐκ
50 τῆς ἐντὸς ἐπιτεθεισῶν ἐφηλίδων συγκεκοινώσθω,
51 καθάπερ εἴθισται. περὶ δὲ τὸ ἄνω μέρος
64 καὶ τὸ κάτω μέρος παρὰ τὴν ἐπιτομὴν ψαλίδες
2 ἐπιτεθεῖσαι ὑπὸ τὸ ὄπισθεν περιβαίνουσαι συνη-
3 λωθήτωσαν κοινωματίοις ἐλάσσοσιν· ἔστω δὲ ἡ

26 κυρτὸν] f. κυρτὴν cf. v. 46 | τὴν δ' ὄπισθεν P (ὄπ.) V corr. Koe | 27 συμπεριαγῆ PV corr. Koe | 27. 28 πεποιημένη PV corr. Koe | 28 γὰρ] 'cf. Vahlen ad Arist. Poet. p. 128[3]' Die; γε Koe | καὶ om. P | 31 ἐφοῦ PV | 32 νοείσθω] in V ad accentum punctum appictum et ει per compendium formae insolentioris scriptum, unde in E νοήσθω | 36 ὄπισθεν P | 42 ἥμισυ δακτυλίου PV | 44 τρίτον PV τρίτα Pr | 46 τῆς del. Koe | κυρτῆς] in P sequentes duae ultimae lineae f. 106r et primae quattuordecim f. 106v, in V duae ultimae lineae f. 146r et quindecim primae f. 146v vacuae | 50 συγκεχυνώσθω PV corr. R | 2 περιβαίνουσαι] ab initio πε et ιβ in ras. V | 3 χυνωματίοις PV corr. Ha Koe | ἐλάσσουσιν PV corr. R

64 ψαλὶς ἐφ' ὧν τὰ θ. ὁ μὲν οὖν παραστάτης λα-
5 βέτω ταύτην τὴν σύνταξιν. 32. οἱ δὲ μεσοστάται ἐπὶ μὲν
6 τῶν ἀρχαίων διεστηκότες ἀπ' ἀλλήλων τίθενται, καὶ
7 σμικρὸν διαπηγμάτιον λαβόντες τὴν μὲν κάτω χώ-
8 ραν ἀφορίζουσι τῷ τῆς σύριγγος τόρμῳ, τὸ δὲ ἄνω
9 δίοπτρα γίνεται· ἡμεῖς δ' οὕτω ποιοῦμεν. πάχος
10 προσδίδομεν τοῖς μεσοστάταις τοσοῦτον, ὥστε συν-
11 τεθέντας καὶ ἑαυτῶν ψαύοντας συμπληροῦν πᾶν
12 τὸ πρόσθεν ῥηθὲν διάστημα τῶν μεσοστατῶν πρὸς
13 τὸ τὴν δίοπτραν ποιεῖν καὶ τὴν τῶν τόρμων χώραν· ἐρ-
14 γασθέντες δὲ σύναρμοι συντίθενται, καὶ οὕτως ἥ τε
15 δίοπτρα διεκόπη καὶ ἡ χώρα ⟨τῷ⟩ τῆς σύριγγος τόρμῳ.
16 νόει δὲ τὸ σχῆμα συντεθέντων αὐτῶν ὁρᾶν τὸ ἐφ'
17 οὗ τὰ α· ἔστω δὲ ἡ δίοπτρα μὲν ἐφ' ἧς τὸ γ,
18 ὁ δὲ ἁρμὸς ὁ τῆς συμβολῆς ὁ δ. ὅπως
19 δὲ πρὸς ἀλλήλους μένωσι, καὶ γόμφοις μὲν συλ-
20 λαμβάνονται καὶ ἥλοις δὲ διίενται διὰ τῆς στερεᾶς
21 καὶ συγκοινοῦνται· ἔχει δὲ καὶ παρεπιτομὴν ἐξ ἴσου
22 τοῖς παραστάταις κατὰ τὸ μέτωπον καὶ τὸ ὄπισθεν
23 βάθος ἔχουσαν τὸ αὐτό. νόει δὲ ταύτας εἶναι κατὰ
24 τὰς γραμμὰς ἐφ' ὧν ε.
25 ὑπόλαβε δὲ καὶ τὸ προειρημένον σχῆμα κατὰ
26 κρόταφον θεωρεῖν, καὶ ἔστω τὸ ἐφ' οὗ τὸ ζ. ἐχέ-
27 τω οὖν ἐκτομὰς πεποιημένας ἐξ ἑκατέ-
28 ρου μέρους τὰς ἐφ' ὧν η, ἕως κατὰ τὴν
29 ἐπιτομὴν πιπτούσας ἀκριβῶς, ἐχούσας δὲ
30 πλάτος δακτύλων β'· ἀπέχεις οὖν καὶ τὴν
31 τῶν μεσοστατῶν κατασκευήν. 33. τὰς δὲ κατα-
65 ζυγίδας δεῖ διατεινούσας ἐπ' ἀμφότερα τὰ μέρη
2 χαλκεῦσαι ἐχούσας μῆκος μὲν παλαιστῶν ε' δα-
3 κτύλου καὶ ἡμιδακτυλίου, πλάτος δὲ δακτύλων
4 β', πάχος δὲ κατὰ τὴν χώραν τὴν ὑπὸ τὸν τόνον πί-

---

6 ἀπάλλήλων PV | 7 κάτω] κατὰ PV corr. Pr R | 9 διόπτρα PV | 10 πάχος δί-δομεν VE | 13 διόπτραν PV | 14 ἥτε] ἡ δὲ PV ad δὲ puncta adpinxit Pr corr. Ha Koe | 15. 17 διόπτρα PV | 15 ⟨τῷ⟩ add. Koe | 18 ἁρμὸς P | 21 συγκινοῦνται PV prior ι in υ corr. P | ἐξίσου V | 24 ἐφ' ὧν ε] sequitur spatium vacuum 13 vel 14 versuum in PV in initio folii recti | 25. 26 καταχρόταφον V | 26 τὸ ἐφ' οὗ] τοῦ ἐφοῦ P (ἐφ' οὗ) V corr. Koe | 27 οὖν ἐκτομὰς] συνεκτομὰς PV corr. Br | ἐξεκ. PV | 28 η] ἦν PV corr. Th mg

65 πτουσαν δακτύλων β∠ c. ἀπειλήφθω δὲ
6 ἀπὸ μὲν τῶν ἄκρων τῆς καταζυγίδος ἐξ ἑκατέρου μέ-
7 ρους γένειον μῆκος ἔχον ὅσον τὸ πάχος ἐστὶν τοῦ παρα-
8 στάτου· τὸ δὲ γένειον μικρὸν ὑπαμβλὲς ἔστω· καὶ
9 πάλιν κατὰ τὴν τῶν μεσοστατῶν χώραν ὁμοίως ἀπει-
10 λήφθω σχῆμα ποιοῦν τὸ ὑπογεγραμμένον. ἔστω
11 δὲ τὰ ῥηθέντα ἐξ ἄκρου γένεια ἐφ' ὧν τὰ θ, αἱ δὲ
12 κατὰ τοὺς τόνους καταλειπόμεναι χῶραι — πίπτουσι
13 δὲ ἀνὰ μέσον τῶν διαστημάτων τῶν τε παραστα-
14 τῶν καὶ μεσοστατῶν — αἱ λ· λελουσμένας
15 δὲ καὶ περιφερεῖς αὐτὰς κάτωθεν οὔσας νόει πρὸς
16 τὸ μὴ ψαύειν τῶν τόνων. τούτων οὖν ὑπαρχόν-
17 των ὑπόλαβε τῶν μεσοστατῶν σχῆμα γεγονὸς
18 ἐκκεῖσθαι τὸ ἐφ' οὗ τὸ α, καὶ τὰς δηλωθείσας
19 καταζυγίδας ἐξ ἑκατέρου μέρους ἐπικειμένας
20 ἐν ταῖς ἐκκοπαῖς εἶναι· νόει δὲ καὶ κανόνας τινὰς ὑπάρ-
21 χειν εἰργασμένους β' πρινίνους, πλάτος μὲν καὶ
22 μῆκος τὸ ἴσον ἔχοντας ταῖς καταζυγίσιν, πάχος
23 δὲ τριῶν ἡμιδακτυλίων, καὶ τούτους ἐπικει-
24 μένους εἶναι ἐπὶ τῶν καταζυγίδων τὴν ὑπεροχὴν
25 τὴν κατὰ τὸν τόνον ἐκ τοῦ ἄνωθεν μέρους λε-
26 λουσμένην ἔχοντας· καλείσθωσαν δ' ἡμῖν οἱ
27 προειρημένοι κανόνες ἐπιζυγίδες. 34. νόησον δὲ καὶ ἀνὰ
28 μέσον τῆς καταζυγίδος καὶ ἐπιζυγίδος ὑποκειμένους
29 σφῆνας πρινίνους ἐν αὐτοῖς ὄντας εὐμήκεις καὶ μὴ
30 αἰφνίδιον τὴν συναγωγὴν ἀλλὰ ἀγομένην ἔχοντας
31 καὶ εἰς ὀξὺ σφόδρα καταλήγουσαν. ἔστωσαν δὲ κατα-
32 ζυγίδες μὲν αἱ β, ἐπιζυγίδες δὲ αἱ γ, σφῆνες δὲ οἱ
33 δ· τούτων δὲ οὕτως συντεθέντων περίθου τὸ μήρυ-
34 μα τοῦ τόνου, καὶ τὴν ἀρχὴν αὐτοῦ λαβὼν ἀνένεγκε ἐπὶ
35 τὴν ἐπιζυγίδα τὴν ἄνω, καὶ τρυπήματος ὑπάρχοντος ἐν

5 sq. septem versuum dimidia pars vacua PV | ἐξεκατ. PV | 8 ὑπαμβὲς PV ὕπαμβλυ Pr mg corr. Lobeck ad Phryn. p. 539 ὑπέμβαν Koe | 9 τῶν om. VE | 10 ποιῶν PV οἷον ci. Ha | 13 ἀναμέσον PV | 15 δὲ om. VE | 18 ἐφοῦ PV | 19 ἐξεκατέρου PV | 21 εἰργασμένας PV corr. R | 23 τριῶν δακτύλων καὶ ἥμισυ Koe f. τριῶν καὶ ἡμιδακτυλίου | 24 κατὰ τῶν ἐπιζυγίδων PV corr. Koe | 25. 26 λελωσμένην PV corr. Koe | 29 σφήνας PV | ἐν αὐτοῖς] καὶ αὐτοὺς Koe | 30 ἔχοντας] ἔχοντα PV corr. Pr | 32—35 in PV a dextra spatium vacuum relictum est per quinque versus | 33 συντιθέντων PV corr. Ha Koe | παράθου PV corr. Koe | 35 ὑπέρχοντος (ὑπέρ per comp.) P

65 αὐτῇ παρὰ τὴν ἐσχάτην χώραν τοῦ τόνου τὴν ἀρχὴν
37 διείρας ἄφαψον εὐρυτέρου τοῦ τρήματος ὄντος κά-
38 τωθεν, ὅπως μὴ ὑπερέχῃ τὸ ἅμμα. καὶ περὶ ταῦτα
39 περιμηρύου τοὺς τόνους ἀπὸ χειρὸς ἑξῆς περιτιθεὶς
40 καὶ σάσσων σφυρίῳ τινὶ ξυλίνῳ καὶ προσκρούων
41 πρὸς τὸ συνερείδοντα καλῶς τὸν τόνον τεθῆναι·
42 πληρωθέντος δὲ τοῦ πρώτου δόμου πάλιν ἄλλον ἐ-
43 πάνω τὸν αὐτὸν τρόπον ἐπιμηρύου, καὶ πάλιν ὁμοίως,
44 ἕως ἂν καταχρήσῃ πᾶν τὸ μῆκος τοῦ τόνου· καὶ οὕτως
45 ὑπόλαβε τὴν ἀρχὴν ὑποθεὶς ὑπὸ πάντας τοῦ
46 τόνου στήμονας παρεκτείνας παρὰ τὴν ἐπιζυγίδα· πε-
47 ριμήρυσαι δὲ καὶ ἐκ τοῦ ἄλλου μέρους τὸν ἄλλον τόνον
48 ὁμοίως. εἶτ' ἔκβαλε τοὺς σφῆνας τοὺς ἐκ τῆς μιᾶς
49 πλευρᾶς, ἕως ἐπ' ἄκρον αὐτοὺς ἑλκύσῃς, ὅπως ὁ
50 τόνος πᾶς ὁμοίως χάλασμα σχῇ. 35. τοῦτο δὲ πράξας
51 λάβε τὸν ἀγκῶνα καὶ τὸ ἄκρον αὐτοῦ τὸ τὴν τοξῖτιν δεχό-
66 μενον δίωσον διὰ μέσου τοῦ μηρύματος καὶ ἐπίσπα-
2 σαι, ἕως οὗ τὴν πτέρναν εἰς τὴν ὑποπτερνίδα τὴν ἐν τῷ
3 μεσοστάτῃ πεποιημένην ⟨.....⟩. ἔστω δὲ αὕτη τοσοῦτον ἔχου-
4 σα βάθος, ὥστε τὸν ἀγκῶνα μήτε προεστάναι μήτε
5 προσπίπτειν λίαν· νόει δὲ τὴν ὑποπτερνίδα οὖσαν,
6 ὡς λέγω, τὴν ἐφ' ἧς τὸ μ· ποιήσας δὲ τὸ ῥηθὲν καὶ κατα-
7 στήσας τὸν ἀγκῶνα, πάλιν ὁμοίως καὶ τὸν ἄλλον ἀγκῶνα
8 κατάστησον. εἶθ' οὕτως προσάξεις καὶ τοὺς παρα-
9 στάτας καὶ ὑπερείσεις αὐτοὺς ταῖς καταζυγίσιν. καταστη-
10 σάμενος δὲ τὸ πλινθίον οὕτως σφῦραν σύμμετρον
11 λαβὼν εἰσέλαυνε τοὺς σφῆνας ἐναλλὰξ ἕκαστον
12 τύπτων πραέως, ἕως ἂν εἰσπέμψῃς αὐτοὺς με-
13 τρίως, καὶ τὸ τηνικάδε θεὶς ἐπὶ κρόταφον τὸ πλιν-
14 θίον ἐπί τινος στερεοῦ ὑποθέματος τύπτε μείζονι
15 σφύρᾳ καὶ εἰσώθει τοὺς σφῆνας· ὅταν δὲ ἱκανῶς

36 αὐτῇ· P | 37 ἄφατον P | εὐρυτέραν PV corr. Koe | 38 ἄμμα V | περι PV | 39 περιμυρύου P | ἐξῆς P | 40 σάσσων] πατάσσων R | 41 πρὸς τὸ] πρὸς τὰ PV | 44 ὡς ἂν κατὰχρῆσιν PV corr. Koe | 45 ἀπόλαβε VE f. ὑπόβαλε coll. Her. Bel. p. 82,4 W qui Philonem adhibuisse videtur | 45. 46 τοὺς τόνους PV corr. Koe | 48 ἔμβαλε PV | 49 ἑλκύσῃς PV | 51 τοξίτιν ἐχόμενον PV corr. Koe | 3 μεσοστάτῃ· P μεσοτάτηι V | ⟨ἐμπεσεῖν⟩ Koe (tum v. 2 ἕως ⟨τ⟩οῦ scr.); f. ⟨ἐμβάλῃς⟩ | 5 λία V λίᾶ P | 8 εἶθουτως V | 9 καταζύγισιν P | 9. 10 κατὰστησάμενος P | 10 σφύραν PV corr. Die | 11 ἐνάλλαξον PV corr. Th | 12 τύπων P corr. Pr | ἐκπέμψῃς PV | 15 σφύ-ρα· PV | δὲ] γὰρ PV corr. Koe

66 εἰσεληλυθέναι σοι δοκῶσιν, ἐπιθεὶς ἐπὶ τὴν σύριγ-
17 γα καὶ ἐνδήσας τὴν τοξῖτιν, ὡς εἴθισται, καὶ ἐκτείνας
18 αὐτὴν κάταγε δὶς ἢ τρίς, μὴ ἀποσχάζων ἀλλ'
19 ἀνιεὶς πραέως διαλείπων, ἕως ⟨τοῦ⟩ τοὺς τόνους αὐτοῖς
20 συνδιδόναι, καὶ πάλιν καθελὼν καὶ ἐπὶ κρόταφον
21 θεὶς ἔλαυνε τοὺς σφῆνας· τοῦτο δὲ ποίει, ἕως ἄν σε
22 τὸ μῆκος τῆς τοξείας ἐκτείνῃ, καὶ οὕτως ἀπότε-
23 ⟨με⟩ πρίονι τὸ ὑπερέχον τῶν σφηνῶν παρὰ τὴν ἐπι-
24 τομὴν τῶν παραστατῶν. 36. τὸ μὲν οὖν πλινθίον οὕτως
25 ἐργασθὲν καὶ ἐξαρτυσθὲν ἕτοιμα τὰ πρὸς τὴν
26 τοξείαν λαμβάνει· γίνεται δὲ τῇ ὄψει μικρῷ ἀ-
27 πρεπέστερον· ἀκέφαλον γὰρ ὁρᾶται, ὡς ἔχει. ὅπως
28 οὖν τῇ τε ὄψει φαίνηται καλὸν καὶ ὁ τόνος συγ-
29 καλυφθεὶς ἄσι ἔχῃ σκέπην, ἐξ
30 ἑκατέρου μέρους γίνεται κάλυμμα κατασκευα-
31 σθὲν ὃν τρόπον μέλλομεν λέγειν· πλινθίον πήγνυται
32 ἐκ σανίδων πτελεΐνων ἢ μελεΐνων, ἢ οἵων ἄν τις
33 ἕληται τῆς ὄψεως ἕνεκεν καὶ ἰσχύος ἅμα, πάχος
34 ἐχουσῶν δακτυλιαῖον, πλάτος δὲ τοσοῦτον, ὥστε
35 συγκαλύπτειν τὰ περὶ τοὺς σφῆνας· πήγνυται δὲ
36 καὶ κρυπτοῖς πελεκίνοις, ὥστε τὰς ἐκτὸς γωνίας
37 ἐπ' ὄνυχος συμβεβλημένας ἔχειν· τὸ δὲ πλινθίον
38 γίνεται τηλικοῦτον, ὥστε περιλαβεῖν κύκλῳ τοὺς
39 μεσοστάτας καὶ παραστάτας, παρεμβαῖνον εἰς
40 τὴν ἐπιτομὴν αὐτῶν, καὶ ἐπάνωθεν αὐτῶν κά-
41 λυμμα λαμβάνει, κυμάτιον πύξινον ἔχον δι-
42 πλοῦν κύκλῳ περιτρέχον· καὶ οὕτως ἐκ τῶν πλα-
43 γίων ἀποπερονᾶται πρὸς τοὺς παραστάτας περό-

---

16 σοι om. VE | 17 τοξίτιν PV | 18 κατάγε PV corr. Koe | 19 ⟨τοῦ⟩ add. Die | αὐτοῖς PV corr. Koe | 20 συνδιδόναι] συνᾴδειν Koe | καθελὼν] καθηλῶν PV 'οἶμαι καθελὼν' Pr mg | ἐπικρόταφον V | 21. 22 ἕως ἄν σοι τὸ μ. τῆς τ. ἐκποιῇ Die coll. 67,2. 20 | 22 ἀπότεμε] ἀπότε PV corr. Pr | 25 ἕτοιμα τὰ] ἑτοιμότητα Koe | 26. 27 ἀπριπέστερον V | 27 ὁρᾶται] ο cum ras. V | 28 φαίνεται PV corr. Ha Koe | 29 ἄσι ἔχῃ σκέπην] ἄσι ἔχηισ καὶ πλὴν et in mg. ς V PV 'ἴσως σκέπην διπλὴν' Pr mg 'f. ἀσινὴς (ἀσινῆ O. de Gebhardt) ἔχῃ' Ha cf. p. 67,37; ἀμπίσχῃ Bue; ἅμ' ἔχῃ Va; ἀεὶ ἔχῃ Die qui ἀεὶ olim pro correctura in mg. adscriptum in v. 49 irrepsisse suspicatur | 29. 30 ἐξεκατέρου PV | 31 πήγνυνται PV corr. R | 32 πελεΐνων P corr. Pr | μηλεΐνων P | ἄν] ἐάν PV corr. Koe | 33 ἕληται P | 37 ἐπόνυχος PV | ἔχῃ PV ἔχει Koe | 38 κύκλω PV | 41 ἔχων P | 42 κύκλω PV | 43 προσπερονᾶται Koe

66 ναις σιδηραῖς ἢ χαλκαῖς πομφολυγωταῖς. περι-
45 τεθὲν οὖν τὸ ῥηθὲν ἐξ ἑκατέρου μέρους κάλυμμα
46 τήν τε ὄψιν ἀποδίδωσι καλὴν καὶ τὰ περὶ τοὺς
47 σφῆνας καλύπτει καὶ τὸν τόνον σκεπάζει. τὰ δ' ἐμ-
48 φράγματα ταῖς μέσαις χώραις τῶν παραστατῶν καὶ με-
49 σοστατῶν ἄν τε βούλῃ ἀεὶ λιτὰ ποιεῖν, οὐθὲν διοίσει
50 — σκέπης γὰρ ἕνεκεν τῆς τῶν τόνων ἐμβάλλεται —, ἐάν τε καὶ τῆς
51 ὄψεως στοχαζόμενος θέλῃς οὔλων τε ξύλων αὐτὰ
67 ποιεῖν καὶ πύξινον περιτρέχον κυμάτιον περιτιθέ-
2 ναι, καὶ τοῦτ' ἐκποιήσει.

37. Τὴν μὲν οὖν κατασκευὴν
3 λαμβάνει καὶ τὴν ἐξάρτυσιν ταύτην· ἐὰν δὲ
4 ἐπιτεῖναί ποτε βουλώμεθα, δεῖ προκαθηγητῆρα
5 κατεσκευασμένον σιδηροῦν ὑπάρχειν· ὁ δὲ προ-
6 καθηγητήρ ἐστιν ὅμοιος ἐπιβολεῦσιν, ὅσοι τὰ
7 νομίσματα ἔχοντες πίπτουσι, πλὴν ὅτι τετρά-
8 γωνον αὐτοῦ πεποίηται καὶ σφηνοειδὲς τὸ στόμα. ὅ-
9 ταν οὖν ἐπιτεῖναι βούλῃ, περιελόντα δεῖ τὰ κα-
10 λύμματα θεῖναι τὸ πλινθίον ἐπὶ κρόταφον ὑπο-
11 τιθέντα τι πρόθεμα στερεὸν καὶ οὕτως ἐπὶ τὴν τοῦ
12 σφηνὸς κουρὰν τὴν ἠκροτομημένην ἐπιθέντα
13 τὸ τοῦ προκαθηγητῆρος στόμα κρατεῖν τοῦ στελεοῦ·
14 εἶτα ἄλλον τῇ σφύρᾳ τύπτειν, ἕως ἂν εἰσε-
15 λάσῃ ὅσον δακτύλους δύο, καὶ οὕτως τὸν μὲν
16 προκαθηγητῆρα ἐξελεῖν διακρούσαντα ἐκ τῶν
17 πλαγίων· ἀπειργασμένον δὲ σφῆνα ἁρμοστὸν ἔ-
18 χοντα στόμα εἰς τὴν χώραν μὴ λίαν μα-
19 κρόν, καθότι ἦσαν οἱ ἐξ ἀρχῆς πεποιημένοι, σύμ-
20 μετρον δέ, ἐπιθέντα ἐλαύνειν, ἕως ἂν ἡ τοξεία ποιή-

---

44. 45 περιτιθὲν PV corr. Pr | 45 ἐξεκατέρου PV | 46 τὰ] τὰς PV corr. Koe | 47 τόνον] νόνον VE | 49 ἀεὶ λιτὰ] 'f. ἀφελῆ καὶ λ.' Koe qui in textu ἀεὶ omisit; λεῖα ⟨καὶ⟩ λιτὰ Va; ἀεὶ del. Bue ('mixta λεῖα et λιτά') | 51 στοχαζομένης PV (Ha conf. p. 78,17) | θέλης PV | 1 τόξινον PV corr. Pr | 2 καὶ τοῦτ'] καὶ τοῦ P καὶ τοῦτο Pr | ἐκποιήσειν PV —σῃ Pr —σῃ Koe | 5 κατασκευασμένον PV corr. Ha Koe | 6 ἐπιβολεῦσιν] ἐπιβουλεύσιν P ἐπιβουλέύειν V; in mg. a m[1]: s ἐπιβουλεῦσιν P s ἐπιβολεῦσιν V ἐμβολεῦσιν Die | 6 7 ὅσοι—πίπτουσι] οἷς τὰ ν. κόπτουσι Koe; οὓς τὰ ν... τύπτουσιν Schneider Lex. s. v. ἐπιβολεύς; οἷς τὰ ν. χέαντες τυποῦσι vel κόπτουσι Die | 10 ἐπικρόταφον V | 10. 11 ὑποθέντα Koe | 11 πρόθεμα] ὑπόθεμα Koe | 15 εἰσελάσῃ· P | 17 ἀπεργασμένον PV corr. Koe | 18 στόματα V | 19 καθὅτι P

67 σῃ τὸ δέον, καὶ πάλιν ἀκροτομήσαντα τοὺς σφῆ-
22 νας ⟨τὰ⟩ καλύμματα περιθεῖναι. ἔσται δὲ καὶ τὰ τῶν
23 σφηνῶν ἀκρότομα φυλαχθέντα χρήσιμα πρὸς
24 τὰς ἐπεντάσεις· ἁρμόσει γὰρ εἰς τὰς χώρας. 38. τὴν
25 μὲν οὖν ἐπένταισιν τῷδε ⟨τῷ⟩ τρόπῳ ποιη-
26 τέον· ἐὰν δὲ παῦσαι θέλωμεν καὶ τὸν τόνον περιε-
27 λόντες, καθότι εἴπομεν, θεῖναι, δεῖ τὸ τῶν ἐπιζυ-
28 γίδων καὶ τὸ τῶν σφηνῶν ὑπεριδεῖν ἀναλωμά-
29 τιον — τοῦτο δέ ἐστι τελέως μικρόν —· διατεμεῖν γὰρ
30 δεῖ πριονίῳ τὴν ἐπιζυγίδα καὶ τοὺς σφῆνας παρ'
31 αὐτὸν τὸν τόνον, καθὰ προσερείδει τῷ παραστά-
32 τῃ, καὶ τὰ μὲν μέσα ἔκτομα ἐξελεῖν, ἀντισφῆ-
33 να δὲ ποιήσαντα καὶ ἀντιθέντα τῷ σφηνὶ
34 τύπτειν τῇ σφύρᾳ καὶ ἐξελάσαι τοὺς σφῆνας.
35 καὶ οὕτως χάλασμα λαβόντων τῶν τόνων τούς
36 τε ἀγκῶνας ἐξαιρεῖν καὶ τὰ τῶν τόνων μηρύμα-
37 τα περιελεῖν ὄντα ἄφθαρτα καὶ ἀσινῆ καὶ λι-
38 πάναντας εἰς ἐξέλικτρον ξύλινον συντιθέναι.
39 καὶ τὴν μὲν διὰ τοῦ σφηνὸς ἐντεινομένου
40 κατασκευὴν τάς τε καθηκούσας ἀποδείξεις δε-
41 δηλώκαμεν, καὶ διὰ πλειόνων μὲν ἴσως λόγων,
42 διὰ πάσης δὲ ἀκριβείας.

43 39. Τοῦ δὲ χαλκοτόνου παρειλήφαμεν εὑρετὴν μέν,
44 ὡς καὶ ἀνώτερόν σοι δεδηλώκαμεν, Κτησίβιον
45 τὸν ἐν Ἀλεξανδρείᾳ γεγονότα· προσπεσόντος δὲ
46 καὶ ἡμῖν τοῦ προβλήματος, τῆς δὲ κατασκευῆς
47 οὕτω διαδεδομένης, καλῶς ἔχειν ὑπελάβο-
48 μεν καὶ αὐτοὶ ζητῆσαι καὶ ἐπὶ πέρας αὐτοῦ τὴν
49 κατασκευὴν ἀγαγεῖν, ὅθεν πολὺ διαλλάσσον
50 γέγονε ⟨τὸ⟩ τοῦ παρ' ἡμῖν ὑπάρχοντος ὀργάνου
51 σχῆμα πρὸς τὴν ὑπ' ἐκείνου συντεθεῖσαν κα-

22 ⟨τὰ⟩ add. Koe | 25 ⟨τῷ⟩ cum R add. Va | 26 παῦσαι] καῦσαι PV χαλάσαι Th mg | 28 ὑπερείδειν PV corr. Koe | 32 ἀντὶ σφῆνα P ἀντίσφηνα Die | 37. 38 λιπάνοντας P corr. Pr | 39 f. τὴν μὲν ⟨τοῦ⟩ διὰ | 41 'f. καὶ del.' Br | 45 ἐν om. P | 46 καὶ ἡμῖν in P add. m[1] supra lin. | τῆς] τοῖς P corr. Pr | δὲ] τε Pr | 47 οὕτω] sic Prou la Chirob. d'Héron p. 95. 261 οὔπω Th mg Gra p. 155 | 48 πέρας] πέτρας PV corr. Th | 49 διαλάσσον PV | 50 γέγονε om. VE | ⟨τὸ⟩ post ὀργάνου add. Koe | ὑμῖν VE | 51 ὑπεκείνου PV

68 τασκευήν, ἐξ ὧν διεσάφουν ἡμῖν τινες τῶν παρ' αὐτῷ
2 περιέργως τεθεαμένων· ὑποστησάμενος οὖν ποιή-
3 σομαι τὸν λόγον σοι περὶ τῆς ἡμετέρας κατασκευῆς.
4 40. βάσις μὲν οὖν καὶ συρίγγιον καὶ χελώνιον καὶ χεὶρ
5 ἡ κατάγουσα τὴν τοξῖτιν ὅ τε ὀνίσκος καὶ ἡ κατα-
6 κλεὶς καὶ σκυτάλαι καὶ τὰ ἄλλα πάντα καὶ ἐπὶ τού-
7 του κατεσκεύασται τοῖς ἄλλοις ὀξυβελέσιν ὁ-
8 μοίως· τὸ δὲ πλινθίον ἄλλο λαμβάνει σχῆμα. μέλ-
9 λοντες οὖν περὶ τῆς τῶν τόνων ἰδιότητος ἀπαγγελεῖν
10 καλῶς ἔχειν ὑπελαμβάνομεν καὶ ἐπὶ τούτου
11 πρῶτον ἐπισκέψασθαι περὶ τῶν ἀρχαίων ὀργάνων
12 καὶ συμβαλ[λ]εῖν, τίς ἐστιν ἡ αἰτία τοῦ μακρὰν ἀποστέλ-
13 λειν δύνασθαι τὸ βέλος, μὴ περὶ μικρᾶς αἰτίας τὴν
14 θεωρίαν ποιούμενοι, καθάπερ ἀνώτερον δεδηλώ-
15 καμεν, περὶ τὸ μακροτονεῖν ἢ συναιρεῖν τὸ μῆκος
16 τῶν τόνων ἢ τοὺς ἀγκῶνας ἐπεκτείνειν ἢ συστέλλειν ἢ
17 προσεστηκότας ἢ ἀναπεπτωκότας μᾶλλον ποιεῖν
18 ἢ τὴν τῶν νεύρων ἢ τριχὸς ἀρετήν· ταῦτα μὲν γὰρ καὶ
19 προεζήτηται, καθάπερ εἶπον ἐν τοῖς πρότερον,
20 καὶ ἐν μέσῳ κείμενα κοινὰ πᾶσιν ὑπάρχει πολ-
21 λάκις ἤδη καὶ παντοδαπῶς πεπειραμένα· νῦν δὴ
22 ὁλοσχερῆ τινα δεῖ τὴν ἐπίσκεψιν περὶ τῶν καθόλου
23 ποιήσασθαι μέλλοντας δὴ καὶ προσάγειν ὁλοσχερές τι
24 θεώρημα καὶ ἴδιον τῇ διαθέσει καὶ πολὺ παρηλ-
25 λαγμένον τῶν πρότερον. 41. ὅλη οὖν ἡ τῶν ἀγκώνων
26 βία παραίτιος γίνεται τοῦ μακρὰν φέρεσθαι
27 βέλος· αὕτη δὲ διὰ τῶν τόνων αὔξεται. σκεπτέον τοί-
28 νυν, ποία τίς ἐστι περὶ τοὺς τόνους ὑπάρχουσα
29 διάθεσις· ἔστω δ' ἡμῖν περὶ τοῦ παρόντος ἡ ζήτησις
30 καὶ ὁ περὶ ταύτην ἐσόμενος λόγος περὶ τῶν ὀξυβε-
31 λῶν ὀργάνων. ἆρ' οὖν, ἐπεί τοι αἴτιός ἐστιν ὁ τόνος

---

5 τοξίτιν PV | ὅ τε om. VE | 5. 6 καταχλεῖς PV | 6 ⟨αἱ⟩ σκυτάλαι Koe | τὰ ἄλλα πάντα καὶ om. VE | 9 ἀπαγγέλειν PV ἀπαγγέλλειν R Koe Bue | 10 ὑπολαμβ. Br | 12 καὶ in ras. V | συμβάλλειν PV corr. Die Bue | 13 περὶ] παρὰ PV corr. Pr | 14. 15 δεδηλῶκαμεν P | 15 περὶ] παρὰ PV corr. Koe | 17 πρὸς ἑστηκότας PV corr. Pr | 18 τὴν] τὸν PV corr. Koe | τριχῶν Die | 19 προσζήτηται P corr. Pr | εἶπαν PV corr. Pr | 20 ὑπάρχειν PV corr. Koe | 21 δὴ] δὲ R Bue | 22 ὁλοσχ. PV | 23 δὴ] γε Koe | ὁλοσχ. PV | 25 f. ὅλον vel ὅλως | 28 'f. ἐστι⟨ν ἡ⟩' Die | 29 περὶ] ἐπὶ Ha Br | 31 ἆρ'] ἃ i. e. πρῶτον Die | ἐπεί τοι] ἔπειτα PV corr. Bue ἐπεὶ Ha Koe

68 τῆς τοῦ ἀγκῶνος βίας, ἡ δὲ τοῦ ἀγκῶνος βία τῆς τοῦ
33 βέλους ἀποστολῆς, φροντιστέον ἐστὶ τῶν τόνων. οὐκοῦν
34 ὁ ἀγκών ἐστιν ἐν μέσῳ τῷ τόνῳ· τὸ μὲν ἡμιτόνιον
35 αὐτοῦ ἐπιπίπτει κατὰ τὴν πτέρναν τοῦ ἀγκῶνος ἐν
36 τῷ ἐκτὸς μέρει τοῦ πλινθίου καὶ βιάζεται τὴν
37 πτέρναν εἰς τὰ ἐντός, τὸ δὲ ἄλλο ἡμιτόνιον
38 παραλλὰξ ἀνὰ τὸν ἀγκῶνα· λέγω οὖν, ὅτι ⟨ὁ⟩ τάχιστα
39 δυνάμενος τῶν ἀγκώνων ἀναπίπτειν μακρότατα
40 τὸ βέλος ἀποστέλλει· ἡ γὰρ ὀξυτάτη φορὰ τῆς τοξί-
41 τιδος ταχυτάτην ἐνεργάζεται τῷ βέλει κίνησιν,
42 ὥστε ἐν ἴσῳ χρόνῳ ⟨ἐπὶ⟩ πλείονα τόπον ἐνεχθῆναι διὰ
43 τὸ συνεχὲς τῆς φορᾶς. πότερ' οὖν, καθάπερ εἰ-
44 ρήκασιν οἱ πλεῖστοι καὶ ἡμεῖς δὲ ἀρτίως εἴπομεν,
45 συμβαίνει τῇ τοῦ ἀγκῶνος ἀναπτώσει τὴν βίαν ἐξ ἀμ-
46 φοτέρων γίνεσθαι τῶν ἡμιτονίων, ἢ μόνον ἐκ τοῦ ἑνός;
47 τοῦτο δὲ σαφῶς εἰδήσομεν ἐπιστήσαντες αὐτούς·
48 πάνυ γὰρ χρήσιμον ἔσται πρὸς τὸν ⟨ἐν⟩εστῶτα λόγον.
49 οὐκοῦν πρὸς μὲν τὴν τῆς τοξίτιδος καταγωγὴν ὁρῶ-
50 μεν ἀμφότερα σαφῶς ἀντιπράσσοντα τὰ ἡμιτό-
51 νια, διὸ καὶ τοὺς ἀγκῶνας συμβαίνει πολλάκις τρίβε-
69 σθαι δύο δυνάμεις ἀνακινοῦντας· ἔν τε τῷ σχάσ-
2 ματι τὴν τοξῖτιν ἅμα συμβαίνει ἀμφοτέρας τὰς
3 τῶν ἡμιτονίων δυνάμεις κινεῖν ἰσοταχεῖς αὐταῖς
4 συνυπαρχούσας διὰ τὸ ἐξ ἴσων καὶ ὁμοίων δυ-
5 νάμεων συνεστάναι. οὐκ ἂν οὖν πρὸς τὸ τάχος
6 τοῦ ἀγκῶνος ἡ μία συμβάλλοιτο δύναμις, εἰ μὴ
7 μείζων εἴη τῆς ἄλλης· οὕτω γὰρ ἂν κατα-
8 κρατοίη τῆς ἐλάσσονος καὶ ἐπισυνάπτοι τῷ τά-
9 χει. δειχθείη γὰρ ἂν τὸ λεγόμενον σαφῶς ὑπάρ-
10 χον, οἷον ἡμεῖς φαμεν, καὶ ἐκ τοῦ μέλλοντος ὑπο-
11 δείγματος λέγεσθαι. 42. ἐὰν γάρ τις λαβὼν δύο
12 βάρη ὅμοια τῷ γένει καὶ τῷ σχήματι τὸ μὲν μνα-

33 οὐκοῦν PV | 35 τοῦ ἀγκῶνος—37 πτέρναν om. VE | 36 ἐντὸς P | 38 παραλλὰξ ἀνὰ] παραλλάξαν PVE corr. Koe | ⟨ὁ⟩ add. Ha | 42 ⟨ἐπὶ⟩ cf. p. 53,49 Hero Bel. p. 75,6 81,5 W; sed cf. Arist. meteor. I 12 p. 348b24 | 47 αὐτοὺς PV corr. Ha | ἑστῶτα PV corr. Br | 49 οὐκοῦν PV | τὴν] τὸν VE | 50 ἀντιπράσσονται V | 1. 2 σχάσματι] σχήματι PV corr. Koe | 2 τοξίτιν PV | 3 αὐταῖς] αὐτοὺς P αὐτὰς VE corr. Koe ex Th lat | 4 συνυπάρχουσας P (ας corr. ex ι m[1]) | 6 συμβάλλοιτο] alteram λ supra lin. add. m[1] P | 7 εἴη] οἴη V | 8 ἐπισυνάπτει V | 12 τῶ σχ. P | 12. 13 μνᾶ ἴσον PV; fuit μναϊέον ut v. 27

69 ἰαῖον, τὸ δ' ἄλλο δίμνουν, ἅμα ἀφ' ὕψους ἀ-
14 φῇ φέρεσθαι, λέγω, ὅτι τὸ δίμνουν παρὰ πολὺ τά-
15 χιον οἰσθήσεται· καὶ ἐπὶ τῶν ἄλλων δὲ βαρῶν ὁ
16 αὐτὸς ὑπάρχει λόγος, [τῷ] ἀνὰ λόγον ἀεὶ τὸ
17 μεῖζον τοῦ ἐλάσσονος ὡς τάχιον φέρεσθαι, εἴθ'
18 ὅτι τὸ μεῖζον βάρος, καθάπερ φασί τινες τῶν φυ-
19 σικῶν, μᾶλλον ἐκρομβεῖν δύναται καὶ δια-
20 στέλλειν τὸν ἀέρα, εἴθ' ὅτι τῷ μείζονι βάρει καὶ
21 ῥοπὴ πλείων παρέπεται, ⟨ἡ⟩ δὲ πλείων ῥοπὴ μᾶλ-
22 λον αὔξει τὴν κατὰ κάθετον φοράν. πάλιν, ὅτι
23 γίνεται τὸ ῥηθέν, ἐὰν δύο βάρη λαβὼν μναϊαῖα
24 καὶ συνθεὶς ἔπειτα καὶ συναιωρήσας ὡς δυνατόν
25 τις ἀφῇ φέρεσθαι· λέγω δή, ὅτι ταχύτερον οἰσθή-
26 σεται πάλιν τὸ δίμνουν βάρος ἢ τὰ δύο αὐτοῖς
27 συγκείμενα μναϊαῖα βάρη· βραδύτερον δὲ κἂν
28 τρία καὶ ἔτι πλείονα συντεθῇ, ταὐτὸ ποιήσει.
29 φανερὸν οὖν γίνεται καὶ ἐκ τούτου, διότι πλειόνων
30 δυνάμεων ἐπὶ τὸ αὐτὸ συντεθεισῶν, ἴσων δὲ αὐ-
31 ταῖς οὐσῶν, οὐθὲν ἡ φορὰ κατὰ κοινὸν μᾶλλον αὔξεται
32 τῆς ὑποκειμένης φυσικῆς τῷ ἑνὶ μόνον βάρει. τού-
33 των δὴ τοιούτων ὑπαρχόντων ἐδείχθη σαφῶς
34 τὸ ἓν ἡμιτόνιον μηθὲν συνεργοῦν τῇ τοῦ ἀγκῶνος
35 φορᾷ διὰ τὸ ἰσοταχὲς τῷ ἄλλῳ· καλῶς οὖν
36 ἔχον ἐκρίθη τὸ περιελεῖν καὶ μετᾶραι τὸ μηθὲν
37 ὠφελεῖν δυνάμενον τὴν τοῦ ὀργάνου δύναμιν· νευ-
38 ρίνων μὲν οὖν ὄντων τῶν τόνων καὶ ἐχόντων τὴν ὁμοίαν
39 τοῖς πρότερον τάσιν, οὐκ ἐνδεχόμενον τὸ ἓν τῶν
40 ἡμιτονίων περιελεῖν· πῶς γὰρ ἔτι ὁ ἀγκὼν ἠδύνατο
41 ὑπὸ τοῦ μόνου κρατεῖσθαι; προσεδεῖτο δὲ ἄλλης
42 μεθόδου πρὸς τὸ καὶ αὐξῆσαι δύνασθαι τὴν τοῦ

---

13 ἀφῦψους PV | διμνοῦν PV | 14 ἀφῆ φέρεσθαι P ἀφῆρεσθαι V | διμνοῦν PV | παραπολὺ PV | 16 [τῷ] τὸ R | ἀνάλογον PV | 17 εἴθ' PV | 19 ἐκρομβεῖν P | 20 εἴθ' PV | τῶ P | 21 παρέπεται δὲ πλείω ῥοπὴν PV corr. Br | 23 μνὰ ἴσα PV cf. ad 12. 27 | 24 ἔπειτα] 'f. ἐπὶ ταὐτὸ' Br | συναιρήσας PV corr. Lobeck ad Phryn. p. 717 συναείρας Koe | 25 τίσαφὴ P τίσ, ἀφὴ Pr τί σαφῆ V τις ⟨ἅμα⟩ ἀφῇ Koe | 26 διμνοῦν PV | αὐτοῖς PV corr. Koe | 27 μναϊέα PV corr. R cf. Lobeck ad Phryn. p. 553 Paral. p. 21 | βάρη] ά in ras. V | βραδύτερον] 'f. del.' Br. | 28 ἔτι] ἐπὶ PVE corr. Koe | συντεθῆ PV | ταυτὸ PV f. τοῦτο | 29 οὖν om. VE | 30. 31 αὐταῖς PV corr. Koe | 35 φορᾶ· PV | ἰσοπαχὲς PV | 36 μετάραι PV | 39 τοῖς] ταῖς P Vcorr. Koe | f. τάξιν | τὸ ἓν] τὸν VE τὴν P corr. Koe | 40 ἠδύνατο ⟨ἂν⟩ Koe | 41 μόνου] νόμου PV corr. Th mg

69 ἑνὸς ἡμιτονίου δύναμιν τοῦ προσηρεισμένου
44 πρὸς τὴν τοῦ ἀγκῶνος πτέρναν, καὶ τὸ ἄλλο
45 περιελεῖν ἡμιτόνιον τὸ εἰς μὲν τὴν ἀποστολὴν
46 τοῦ βέλους μηθὲν συμβάλλεσθαι δυνάμενον,
47 εἰς δὲ τὴν καταγωγὴν ἀντιπρᾶσσον, καὶ δυ-
48 σεργίαν ⟨. . . . . .⟩ τὴν μέλλουσαν λέγεσθαι. 43. κατεσκευά-
49 σθησαν γὰρ εἰς τὸν τρισπίθαμον καταπάλτην
50 λεπίδες χαλκαῖ. καὶ εἶχον μὲν τὴν προσηγορίαν
51 ταύτην, ἦσαν δὲ [λεπίδες] ἐλάσματα χαλκᾶ, μῆ-
70 κος μὲν ἔχοντα ⟨. . . .⟩, πλάτος δὲ ⟨. . . .⟩, πάχος δὲ ⟨. . . .⟩· αὗται
2 δὲ ἐχωνεύθησαν μὲν χαλκοῦ παρασκευασθέντος
3 ἐρυθροῦ ὡς χρηστοτάτου καὶ κεκαθαρμένου καλῶς
4 καὶ ἀποπτηθέντος πλεονάκις, εἶθ' οὕτως εἰς τὴν
5 μνᾶν μιχθέντος κασσιτέρου ὁλκῆς δραχμαὶ γ',
6 καὶ τούτου κεκαθαρμένου καὶ ἀπωπτημένου περισσῶς·
7 εἶτ' ἐγχυθεισῶν καὶ ἐλασθεισῶν τῶν λεπίδων καὶ λα-
8 βουσῶν τὰ δηλωθέντα μέτρα, οὕτω καμπ[τ]ὴν ἐδώ-
9 καμεν αὐταῖς πραεῖαν πρὸς ἐμβολέα ξύλινον·
10 καὶ μετὰ ταῦτα ἐκροτήσαμεν [τ]αὐτὰς ψυχρὰς
11 συνεχῶς καὶ πολὺν χρόνον, τηροῦντες ἰσοπαχεῖς καὶ
12 ὀρθὰς κατὰ κρόταφον καὶ κατὰ πλάτος ἀστραβεῖς καὶ
13 ἁρμοζούσας πάντοθεν πρὸς τὸν ἐμβολέα. μετὰ δὲ
14 ταῦτα κατὰ ζεῦγος αὐτὰς συνεθήκαμεν τὰ κοῖλα
15 πρὸς ἄλληλα[ς] συζεύξαντες καὶ τὰ ἄκρα ῥινή-
16 σαντες εἰς ὄνυχα καὶ τόρμοις εἰς ἄλληλα συζεύ-
17 ξαντες. 44. ἰσχὺν μὲν οὖν ἐλάμβανον αἱ λεπίδες διὰ τὴν
18 τοῦ χαλκοῦ κρίσιν· ὁ γὰρ λευκότατος καὶ καθα-

---

44 ἀγκῶνος] κανόνος PV corr. Koe | 48 post δυσεργίαν deesse videntur complura verba, velut ⟨πολλὴν παρέχον· ἐξεῦρον δὲ ἄλλην μέθοδον⟩ τὴν μέλλουσαν κτέ. | 50 χαλκαί· PV | 50. 51 in mg. V ϊ | 51 [λέπ.] del. Br; an δ' αἱ λεπ.? | 1 ⟨δακτύλους ιβ'⟩ πλάτος δὲ ⟨δακτύλους β'⟩ πάχος δὲ ⟨δακτύλου τὸ δωδέκατον⟩ Prou la Chir. d'Héron p. 99 | 3 καὶ καθαρμένου P κεκαθ. (omisso καὶ) Pr | 3. 4 in mg. V ϊ | 4 ἀπωπτηθέντος PVE (in V supra ω incertum utrum punctum an parva ο) corr. R | 5 ὁλκῆς P | f. ὁλκὴν δραχμῶν | 6 τούτου] τοῦ PVE corr. Pr | 7 εἰτεγχθεισῶν P | 8 καμπτὴν PV (in P in mg. adpictum ·/· videtur a m[1]) corr. Pr | 9 πραείαν PV | 10 ἐκρατήσαμεν PV corr. Pr et Meister de catap. polyb. Gottingae 1768 p. 17g | ταύτας PV corr. Va coll. v. 9. 14. 47 p. 71,32 | 12 κατάπλατος P καταπλάτος V | 14 καταζεῦγος P | 15 ἀλλήλας PV corr. Va coll. v. 16 | 15. 16 in mg. V ϊ | 17 μὲν om. VE | 18 χαλκοῦ] χ in ras. V | κρᾶσιν Koe cf. p. 73,30 | 18. 19 καθαρώτατος] θαρώματος P

70 ρώτατος χωνευθεὶς καὶ εἰς τὸ δυνατὸν μηδενὸς με-
20 τασχὼν ἰσχυρός τε καὶ ὁλκὸς καὶ νευρώδης ἐστίν· ἐκρο
21 τοῦντο δὲ ψυχραὶ συνεχῶς καὶ πολὺν χρόνον πρὸς
22 ⟨τὸ⟩ τὴν ἐπιφάνειαν αὐτῶν πυκνωθεῖσαν εὐτονίαν πα-
23 ρασχεῖν. ἀμφίκυρτοι γὰρ συνερεισθεῖσαι, καθὰ λέγο-
24 μεν, παρὰ τὴν τοῦ ἀγκῶνος παρετίθεντο πτέρναν, ὁ δὲ
25 ἀγκὼν τὴν πτέρναν εἶχεν ἐπηρεισμένην ἐπὶ τῶν λεπί-
26 δων· αὐτὸς δὲ ἐπολεύετο περὶ ὀχέα σιδηροῦν παρα-
27 κείμενον ἐκτὸς τῆς τοῦ ἀγκῶνος ἐπιφανείας καὶ συνε-
28 χόμενον ἐν τῷ πλινθίῳ κατὰ τὰ ἄκρα σιδηροῖς δε-
29 σμοῖς, οἳ καὶ τὰς λεπίδας ἅμα περιεῖχον κύκλῳ
30 πρὸς τὸ μὴ πονέσαι τὸ πλινθίον. καὶ κατὰ τὴν ἐπιφά-
31 νειαν δὲ τοῦ ἀγκῶνος δακτύλιος χαλκοῦς προσέκειτο,
32 καὶ πρὸς τὸν ἀγκῶνα προσκεκοινωμένος ἦν, δι' οὗ
33 διέτρεχεν ὁ σιδηροῦς ὀχεύς, προς κε . . . τὸ κισσόφυλλον
34 παρεκτεινόντων ἐξ αὐτοῦ διὰ τούτων. 45. τῆς οὖν δεδηλω
35 μένης διασκευῆς ὑπαρχούσης συνέβαινε κατα-
36 γομένης τῆς τοξίτιδος τὸν ἀγκῶνα πολευόμενον περὶ
37 τὸν ὀχέα τὸν σιδηροῦν θλίβειν τῇ πτέρνῃ τὴν μίαν τῶν
38 λεπίδων· καὶ κατὰ τὸ κυρτὸν μέρος πιεζομένη κατὰ τὰ
39 ἄκρα καὶ προσηρεισμένη τῇ ἄλλῃ λεπίδι αὐτή
40 τε ἀπωρθοῦτο καὶ τὴν ἄλλην ἀπώρθου· προσκείμε-
41 νον γὰρ ἦν καὶ τὸ τῆς ἄλλης μέσον πρὸς τῷ πλινθίῳ
42 καὶ πρὸς τοῖς περιέχουσιν αὐτὴν σιδηροῖς δεσμοῖς·
43 ἐν μὲν τῇ καταγωγῇ, καθότι δεδηλώκαμεν, ἀναγ-
44 καῖον ἦν ἀπορθοῦσθαι τὰς λεπίδας διὰ τὸ αὐταῖς
45 συνηρεῖσθαι, ἐν δὲ τῷ σχασθῆναι πάλιν ἐπὶ τὴν
46 ὁμοίαν τοῦ σχήματος ἀποκαθίστασθαι τάξιν· διὸ καὶ
47 συνέβαινε μετὰ βίας πολλῆς διισταμένας αὐτὰς ἀ-
48 πομοχλεύειν τὴν τοῦ ἀγκῶνος πτέρναν. 46. τάχα μὲν οὖν καὶ
49 σοὶ δόξει τὸ εἰρημένον ἄπιστον εἶναι, καθάπερ καὶ ἄλ-

---

20 ὁλκὸς PV | 22 ⟨τὸ⟩ add. Pr | 26 περιοχέα PV 'περιοχεὺς' Pr mg corr. Meister de cat. pol. p. 18 Ha Prou la Chirob. d'Héron p. 101. 263 | 26. 27 παρακείμενος PV corr. Ha Koe | 29 κύκλω P | 30 καὶ del. Br | 32 προσκεκυνωμένος Pr | 33 προσ κὲ||τὸ κισσόφυλον P προσκε||τὸ κισσόφυλλον V ⟨προσεχὴς⟩ πρὸς τὸ κισσόφυλλον παρεκτεινόμενον ἐξ αὐτοῦ διὰ τοῦτο Koe | 38 καὶ] ἢ Koe | πιεζομένην VE | 38. 39 κατὰ τὰ ἄκρα καὶ] f. καὶ κατὰ τὰ ἄκρα | 39 προσηρεισμένῃ PV corr. Meister de cat. pol. p. 18 | λεπίδι δι' αὐτῆς τὲ PV | 43 ἐν μὲν ⟨οὖν⟩ Br | τῆ P | 44 διὰ τὸ in V rasura factum videtur ex δι' αὐτὸ | αὐταῖς PV corr. Koe

70 λοις πλείοσιν· οὐ γὰρ φάσκουσι δυνατὸν εἶναι καμ-
51 πὴν ἐχούσας τὰς λεπίδας καὶ ὑπὸ τῆς τοῦ ἀγκῶνος
71 βίας ἀπορθωθείσας μὴ οὐκ ὀρθὰς εἰς τὸ λοιπὸν
2 διαμένειν, ἀλλ' ἀποκαθίστασθαι πάλιν ἐπὶ τὴν
3 ἐξ ἀρχῆς ὑπάρχουσαν αὐταῖς καμπήν· περὶ μὲν
4 γὰρ τὴν τῶν κεράτων φύσιν τὸ τοιοῦτον ὑπάρχειν
5 καὶ περί τινα τῶν ξύλων, καὶ τὰ τόξα τοιούτων
6 γίνεσθαι, τὸν δὲ χαλκὸν ἰσχυρὸν μὲν εἶναι φύσει καὶ σκλη-
7 ρίαν καὶ τόνον ἔχειν, καθάπερ καὶ τὸν σίδηρον, καμ-
8 φθέντα μέντοι ὑπό τινος βίας εἰς τὸν μετὰ ταῦτα
9 διαμένειν τὴν καμπὴν ἔχοντα καὶ μὴ δύνασθαι
10 ἑαυτῷ πάλιν ἀπορθοῦσθαι. συγγνώμη οὖν ἔστω
11 αὐτοῖς τοῦ ἐπὶ ταύτην τὴν δόξαν φέρεσθαι ⟨μὴ⟩ προϊ-
12 στορηκόσι τὰ κατὰ μέρος. ὤφθη γὰρ ἡ τῶν προει-
13 ρημένων λεπίδων ἐργασία διὰ τῶν Κελτικῶν καὶ
14 Ἱσπανῶν καλουμένων μαχαιρῶν. ταύτας γὰρ ὅταν
15 βούλωνται δοκιμάζειν εἰ χρησταί εἰσιν, ἐπιλα-
16 βόμενοι τῇ μὲν δεξιᾷ χειρὶ τῆς λαβῆς, τῇ δὲ
16 ἄλλῃ τοῦ ἄκρου τῆς μαχαίρας καὶ ἐπὶ τὴν
17 κεφαλὴν θέντες πλαγίαν αὐτὴν κατάγουσιν ἐξ
18 ἑκατέρου μέρους, ἕως ἂν τῶν ὤμων ἅψωνται,
19 μετὰ δὲ ταῦτα ἀνῆκαν ὀξέως ἀπάραντες ἀμφο-
20 τέρας τὰς χεῖρας· ἡ δὲ ἀφεθεῖσα ἀπορθοῦται
21 πάλιν καὶ οὕτως ἐπὶ τὸν ἐξ ἀρχῆς ῥυθμὸν ἀπο-
22 καθίσταται, ὥστε μηδεμίαν ἔννοιαν καμπῆς ἔχειν·
23 καὶ ταῦτα πλεονάκις ποιούντων ὀρθαὶ διαμέ-
9 ἐν τῆι] ἐν ᾗ Gra | 9. 10 μετὰ PVE κατὰ Th mg | 10 ἐπικέρων PVE corr. Gra | παρ' οἷς] f. βαρεῖς cf. p. 84,36; προσήκει dubitanter Gra | 13 ταὐτὰ Gra | 17 ὠκοδόμηται PV | 18 ὀργύων P ὀργύιων V ὀργυίων E | 19 [πρὸς τοὺς πολεμίους καθῆκον] dubitanter Gra, vix recte | 21 πάσχη V | 22 ὀκτῶ V | ἐπ' ἔλαττον] 'vd. Bonitz ind. Arist. p. 234b 10 ss' Bue | 23 lacunam notavit Egger; ⟨τῶν δ'⟩ Bue | 25 ἐπὶ δὲ ταῖς διεξόδοις? Gra | 26 ⟨ἢ⟩ add. Bue | 27 ἐπικέρους PV(E?) | συμβαίνει—43 τειχοποιίαις uncinis circumscripsit Gra | 28 τὴν μὲν PVE corr. Th | ⟨τὸ⟩ τεῖχος Br | 29 περιφυλαγμένον PVE corr. Vincent et cod. Vat. 220 'f. πεφυλαγμένον' Br | 30 πρόστιθ. P | 32 προσωκοδομημένας PV | 33 καὶ κριοῖς delenda censet Gra 'f. καιρίως' Bue | 34 συντρίβειν] infinitivos usque ad v. 41 pendere ex συμβαίνει v. 27 statuit Va, ex ὥστε v. 29 Bue | 35 ὑπ' αὐτοῖς] f. ὑπὸ ταῖς στοαῖς; ὑπ' αὐταῖς Gra | 36 ἀπόλλειν PVE corr. Bue | 36. 37 περιβάλλοντες PVE corr. Gra περιβαλόντας Die

83 τας περὶ τοὺς κριοὺς ῥᾳδίως καθέξειν ἢ κυ-
38 ριεύσειν αὐτῶν, τούς τε προσερχομένους εἰς
39 τὸ τεῖχος εἰς τὰ ψιλὰ τυπτήσειν καὶ αὐτοὺς
40 εὐχερῶς ὑπεξελεύσεσθαι καὶ πάλιν τὰς
41 ἀποχωρήσεις ἀσφαλῶς ποιήσεσθαι μὴ διδόν-
42 τας τὰ ψιλὰ τοῖς πολεμίοις. ταῦτα δὲ πάντα
43 συμβήσεται καὶ ἐν ταῖς ἄλλαις τειχοποιίαις.
44 δεῖ ⟨δὲ⟩ τὰ προτειχίσματα αὐτῶν ὡς ἰσχυρότατα ποιεῖν
45 τὸν αὐτὸν τρόπον τοῖς τείχεσιν οἰκοδομοῦντας·
46 τὰς δ' ἄλλας οἰκοδομίας καὶ τὰς χαρακώσεις
47 οἵας πρότερον εἰρήκαμεν ποιητέον.

Εὐχερεστά-
48 τη δέ ἐστι τειχοποιία καὶ ἀσφάλειαν ἱκανὴν ἔ-
49 χουσα, ἐν ᾗ τὰ μεταπύργια λοξὰ οἰκοδομεῖται·
50 καὶ πύργοι ἐν αὐτῇ κατασκευάζονται τὴν μὲν
51 ὀξεῖαν, τὴν δὲ ἀμβλεῖαν γωνίαν ποιοῦντες τὰς
84 προσηκούσας πρὸς τὸ τεῖχος· οὕτω γὰρ οἰκοδο-
2 μηθέντες κἂν προσαγομένων τῶν μηχανημά-
3 των ἀλλήλοις ἀμύνειν δύναιντο. τὸν αὐτὸν δὲ τρό-
4 πον καὶ ἐν τοῖς στρατοπέδοις τειχοποιητέον ἐστίν, ἐὰν
5 προσδέχηται πολιορκίαν τινά.

Ἐν δὲ ταῖς
6 ἀρχαίαις τειχοποιίαις δεῖ τοὺς πύργους προεκτι-
7 θέναι κατὰ μίαν γωνίαν, τὰ δὲ μεσοπύργια οἰκοδο-
8 μεῖν καθάπερ ἐν Ῥόδῳ κατεσκεύασται. τῶν δὲ
9 ἐπάλξεων τὰς μὲν ὑποστάσεις δεῖ ποιεῖν τριῶν
10 πλινθίων, ἵνα ὑπὲρ αὐτῶν βάλλειν δύνωνται τοῖς
11 προβόλοις οἱ φύλακες τοὺς πλησιάζοντας τῷ
12 προτειχίσματι· αἱ δ' ἐργωδῶς ἀποκόπτονται.
13 πρὸ δὲ τῶν τετραγώνων πύργων προοικοδομεῖν δεῖ

---

40 ἐπεξελεύσεσθαι ci. Gra Va | 41 ποιήσασθαι PVE corr. Gra | 44 δεῖ δὲ] ἔδει P εἴδει VE corr. Gra 'f. ἔτι δὲ δεῖ' Ha | [αὐτῶν] Gra | ἰσχυρώτατα PV(E?) | 48 ἐστιστειχοποιία E | ἰκανὴν P | 49 μετὰ πύργια PV | οἰκοδομῆται PV | post οἰκοδομεῖται lacunam statuit Gra | 50 γωνίας ci. Gra | 1 προσεικούσας PV (in P corr. a m[1]) καθηκούσας ci. Gra | 1. 2 οἰκοδομηθέντος PVE corr. Th | 2 καὶ PVE corr. Die; del. Gra | 5 προσδέχῃ Gra | ἐν] ἐὰν PVE corr. Th | 7 καταμίαν V | 8 ἐν ῥόδω P ἐῤῥόδω V ερρόδω E | 9 post τριῶν lac. statuit Gra | 12 αἱ δ'] f. 'οἱ δ⟨ὲ προμαχῶνες ... τὸ πάχος ὄντες vel πεποιημένοι⟩ ἐργ. ἀ.' Br | ἀποκόπτωνται Gra | 13 πρὸ] πρὸς PVE corr. R | τῶν om. VE | προωκοδομεῖν P προωκοδομῆν V(..ὴν)E

84 τριγώνους ἄλλους συνεχεῖς καὶ στερεοὺς ἀπὸ ἰσο-
15 πλεύρου τριγώνου, ἵνα περὶ τὴν ἐκκειμένην γω-
16 νίαν στερεὰν καὶ ἰσχυρὰν οὖσαν οἱ λιθοβόλοι πα-
17 ράφοροι γινόμενοι μὴ καταβάλλωσι τοὺς πύρ-
18 γους. τοῖς δὲ πύργοις τὰ μεταπύργια οὐ δεῖ συνάπ-
19 τειν· ἀνίσων γὰρ ὄντων τῶν βαρῶν οὐχὶ αἱ αὐ-
20 ταὶ ἐνδέσεις τοῖς θεμελίοις καὶ ταῖς πλίνθοις γίνονται
21 κατά τε τοὺς πύργους καὶ ⟨τὰ⟩ μεταπύργια. τούτων
22 δὲ συμβαινόντων ῥήξεις ἐν τοῖς τείχεσιν ἔσονται·
23 καὶ ἐὰν πέσῃ τι τῶν μεταπυργίων, ἐπισπάσεται τοὺς
24 τοίχους τῶν βαρῶν. ἐργάσασθαι δὲ δεῖ τοὺς λίθους
25 τῶν ἡμικυλίνδρων πύργων τὴν ἔξωθεν περιφέ-
26 ρειαν καταμετρήσαντα καὶ πρὸς αὐτὴν ἐμβολεῖς
27 ξυλίνους κατασκευασάμενον διαδοῦναι τοῖς λι-
28 θουργοῖς, ἵνα εὐεργῶς καὶ ταχὺ ἐργάζωνται· καὶ ἔ-
29 σονται οὕτως συνεχῶς οἰκοδομούμενοι πόλεις τε
30 ἰσχυροὶ διὰ τὸ τὴν οἰκοδομίαν αὐτῶν τοιαύτην
31 γίνεσθαι καὶ διὰ ⟨τὸ⟩ τῶν πετροβόλων τὰς πλη-
32 γὰς παραφόρους συμβαίνειν καὶ μὴ εἴκειν τοὺς
33 λίθους μηθέν· ἔξωθεν γὰρ εὐρύτεροι ἢ ἔνδοθέν εἰ-
34 σιν. δεῖ δὲ τοὺς γωνιαίους καὶ τοὺς ἔξωθεν τιθεμένους
35 λίθους ὡς μεγίστους καὶ παχυτάτους καὶ ἀκροτόμους
36 εἶναι· τῶν δὲ βαρῶν καὶ τῶν πύργων πάντων κά-
37 τωθεν παρὰ τὰς γωνίας τοίχους ἁπτομένους ἄκρων
38 τῶν γωνιῶν προοικοδομεῖν, ἵνα ὑπόστασιν ἔχωσιν
39 οἱ κινδυνεύοντες· καὶ προτειχίσματα περὶ αὐτοὺς
40 ἢ χάρακα κατασκευάζειν, ἵνα ἐὰν προτείχισμα
41 πέσῃ καὶ ἐντὸς αὐτοῦ γένωνται οἱ πολέμιοι, μὴ
42 ὑπορύττωσιν αὐτοὺς προστιθέντες τὰς δοκίδας.

---

14 ἀπὸ] 'f. ὑπὸ sub' Th mg | ἀποϊσοπλ. P ἀποίσ. V | 18. 19 συναγαγεῖν PVE corr. Bue | 19 βαρῶν] βαρβάρων PVE corr. R | 20 θεμένοις PVE corr. Ha Egger | πλίνθαις VE | 21 ⟨τὰ⟩ add. R | 23 πέση τί PV | μετὰ πυργίων V | 24 βαρῶν] πύργων Egger | 25 f. ἡμικυλινδρικῶν | 26 καταμερήσαντα VE | ἐμβολεῖς] εῖ ex ῆ corr. V m[1] | 28 εὐεργῶς] 'f. ἐνεργῶς' Br; an εὐχερῶς? | 29 πόλεις τε ἰσχ.] τὰ πλεῖστ' εἰσχυροὶ Bue; ἄλλως τε ἰσχ. Die | 30 ἰσχυροὶ PVE ἰσχυραὶ R | 31 ⟨τὸ⟩ add. Ha Gra | 33 εὐροίτεροι PV | 37 παρα PV | τείχους V | ἀπτ. PV | 38 προοίκοδομεῖν PV προσοικοδομεῖν Th mg | ἵνα — 40 κατασκ. aliunde huc inserta suspicatur Br | ἔχωσιν bis scr. in E | 39 προτειχίσματα—40 ἵνα del. Gra | 40 ἐὰν ⟨τὸ⟩ Gra | προστείχισμα P | 41 πέση PV | 42 αὐτοὺς ⟨τοὺς πύργους⟩ ci. Gra | πρὸστιθέντες PV

84 Ὀρυκτέαι δέ εἰσιν ἐν πάσαις ταῖς τειχοποιίαις
44 οὐκ ἐλάττους τριῶν τάφρων, ὧν δεῖ τὴν μὲν
45 πρώτην ἀπέχειν ἀπὸ τοῦ τείχους πλέθρον, τὴν
46 δὲ δευτέραν ἀπ' αὐτῆς πήχεις μ', τὴν δὲ τρίτην
47 ἴσον ἀπὸ τῆς δευτέρας· ἀνὰ μέσον δὲ τῶν δια-
48 στημάτων ἐπὶ εἴκοσι ὀκτὼ πήχεις τὸ πλάτος
49 σκόλοπας καταπῆξαι καὶ ὀρύγματα ποιῆσαι καὶ
50 παλίουρον φυτεῦσαι, ἵνα τῷ ταλαντιαίῳ πετροβόλῳ
51 θέσιν μὴ ἔχωσιν, ἐὰν τῆς πρώτης τάφρου κρατή-
85 σωσιν οἱ πολέμιοι· δώδεκα γάρ ἐστι πηχῶν τοῦ
2 ταλαντιαίου πετροβόλου ἡ σύριγξ, ἡ δὲ σκυ-
3 τάλη δ' πηχῶν, ὥστε παράστασιν οὐχ
4 ἕξει τοῖς περιάγουσι τὸν ὄνον. ποιητέον δ' ἐστὶ
5 τὰς τάφρους ὡς βαθυτάτας καὶ μὴ ἔλαττον τὸ
6 εὖρος ἑβδομήκοντα πήχεων· τοσούτων καὶ τοιού-
7 των τάφρων ὀρυχθεισῶν οὔτε χωσθήσεται τα-
8 χέως, ὅ τε ταλαντιαῖος πετροβόλος, ὅς ἐστι σφο-
9 δρότατος, ἢ οὐκ ἀφίξεται πρὸς τὸ τεῖχος
10 ἢ ἔκλυτος ὢν ἀντιτυπτήσει, αἵ τε στοαὶ οὐ πλη-
11 σιάσουσι τῇ πόλει, ὅ τε κριός, ἐάν τινες αὐ-
12 τῶν χωσθῶσιν, οὐ δυνήσεται τύπτειν τοὺς πύρ-
13 γους. ὀρύττοντας δὲ δεῖ τὰς τάφρους τῆς μὲν
14 πρώτης τὴν ἀναβολὴν ποιεῖσθαι τοῦ [τοι]χοῦ
15 πρὸ τοῦ τείχους, τῶν δὲ ἄλλων εἰς τὰ δια-
16 στήματα ἀνὰ μέσον, ἵνα ὅ τε χάραξ ἀσφα-
17 λῶς τίθηται καὶ ὕψος λαμβάνοντα τὰ δια-
18 στήματα ἀσφάλειαν παρέχηται τῷ προτειχίσ-
19 ματι καὶ τῷ τείχει· θετέος δέ ἐστι πρὸ τῆς
20 δευτέρας καὶ τῆς τρίτης ἄνευ προτειχισμάτων

---

43 ὀρυκταὶ PVE corr. Gra | 45 πεώτην V πεσώτην E | 46 ἀπὸ ταύτης vel ἀπὸ τῆς α Gra | $\bar{\mu}$ P $\overset{*}{\mu}$ V | 47 ἀνα P | 48 εἰκοσιοκτὼ PVE | 50 τῶ ταλαντιαίω πετροβόλω PV | 3. 4 οὐκ ἕξει PV οὐχ ἕξει E | 4 ἕξειν vel ἕξεις Gra | 5 βαθυτάτους VE | 6 πηχέων PVE | 6. 7 τοσούτων κ. τ. τ. ὀ.] ⟨οὕτω γὰρ⟩ οὔτε χωσθήσονται Gra; 'f. χωσθήσεταί ⟨τις⟩' coll. v. 11 A. Schoene | 8 ταχεως V | ὅτε] οὔτε PVE corr. Gra | παλαντιαῖος P | πετρόβολος PV | 10 ἀντιτυπήσει PVE corr. Gra 'f. ἀντιτυπήσεται' Th mg | 11 πλησιάσωσι PVE corr. Th | τῆ V | ἐὰν] κἂν Gra | 12 δυνήσονται PVE corr. R | 14 χοῦ] τοίχου PVE corr. Th mg | 16 ἀνα PV | σχάραξ VE | 17 τίθεται PVE corr. R | 19 θετέον PVE corr. Gra | προτῆς PV | 20 τρίτης] πρώτης ci. Gra fortif. de Carth. p. 200 n. 2

85 ὁ χάραξ, ἵνα ὑπόστασιν τοῖς ἐναντίοις μὴ ἔχῃ·
22 πρὸ δὲ τῆς ἐσχάτης τάφρου συναγαγόντας πα-
23 ρά τε τῶν πολιτῶν καὶ δημοσίᾳ κεράμια
24 ὀρθὰ καὶ κενὰ δεῖ κατορύττειν, σάξαντας τὰ στό-
25 ματα φύκει· ἄσηπτον γάρ ἐστι· μετὰ δὲ ταῦ-
26 τα γῆν ἄνωθεν ἐπιβάλλειν, ὥστε τοὺς μὲν ἀν-
27 θρώπους μηθὲν πάσχειν δεινὸν ἐπ' αὐτῶν βα-
28 δίζοντας, τὰς δὲ προαγομένας χελώνας καὶ
29 μηχανήματα ἐπ' αὐτῶν καταδύνειν. πολ-
30 λαχοῦ δὲ ὀρυκτέον καὶ τέλματα, περὶ ἃ πα-
31 λίουρον δεῖ φυτεύειν, ἵνα ὡς μάλιστα δυσχέ-
32 ρεια γίνηται. καταλιπεῖν δὲ τὰς τάφρους ὀ-
33 ρύσσοντας ὀρθὰς ἐχούσας ὁδοὺς ἁμαξηλάτους
34 ἱκανάς, ἵνα κομίζειν εἰς τὴν πόλιν ὅσα προ-
35 σῆκον ἐκ τῆς χώρας δυνώμεθα.

⟨.....⟩ Χρήσιμοι δέ
36 εἰσι καὶ οἱ τρίβολοι, οἷς ἀλοῶσι, καὶ αἱ ἀγκυ-
37 ρωτοὶ δοκίδες καὶ οἱ χηλωτοὶ κοπέντες πρὸς τὸ
38 κωλύειν καὶ ἐκτραχηλίζειν τὰς προστιθεμένας κλί-
39 μακας. δεῖ δὲ καὶ μηχανήματα ὑπότροχα ὑπάρχειν,
40 μάλιστα μὲν β', εἰ δὲ μή γε ἕν, ἵνα ῥᾳδίως παρα-
41 γένηται οὗ ἂν αὐτῶν γίνηται χρεία ⟨.....⟩

Κατασκευαστέον
42 δὲ καὶ παρόδους καὶ διόδους ἀσφαλεῖς ἐπὶ τὰς παρα-
43 βοηθείας τοῦ χάρακος, ἵνα μὴ οἱ πολέμιοι ἐπὶ
44 τὰ χείλη στήσαντες τῆς τάφρου τοὺς πετροβόλους

---

21 ἔχει PVE corr. R ἔχῃς Gra | 22 πρὸ δὲ — 29 καταδύνειν cf. Anon. Pol. p. 209, 12—16 W et infra p. 100, 4 | 22 συναγόντας P | 23 δημόσια PVE corr. Gra | 25 φύκει ἄσηπτον] φυκίασ ἧττον PVE corr. Gra | 28 προσαγομένας Gra | χελῶνας PV | 29 [ἐπ' αὐτῶν] Gra | 31 δυσχερῆ Br | 32 καταλιπεῖν cum ÷ supra ι PVE; idem signum ÷ in V in mg; καταλείπειν Die | 33 ὀρθὰς] in V a m¹ mutatum in ὀρθοὺς; ὀρθῶς Egger (apud Ro) et Bue; ὄχθας Die | ἁμαξηλάτοις Mi improbante Carolo Graux | 34. 35 προσῆκεν PVE corr. Br | 35 χρήσιμοι — 41 χρείας uncinis circumscripsit Gra; videntur ex altero capite, veluti p. 90,24 per errorem huc inserta cf. Gra oeuvres II p. 170 | 36 αἱ] οἱ PVE corr. Hase Thes. s. v. ἀγκυρωτός | 37 οἱ] αἱ Hase ib. | κοπέντες del. Gra (cum Hasio l. c.?) 'f. κάμακες coll. Et. M. 487,40' Die | 38 κωλύειν] 'κολούειν melius convenit cum κοπ—; sane enim κοπίδων vel κοπέων genus dici videtur' Bue | προστιθέμενας PV | 40 ῥαδίως PV | 41 οὐ P | ἂν] ἐὰν PVE corr, Gra | αὐτοῖς PVE | γένηται R | 44 πτεροβόλους E

85 ἐρύματι χρῶνται καὶ τοῖς πολεμίοις μὴ ᾖ χρή-
46 σιμος, ἡμῖν δὲ ἡ ταφρεία. σπουδαστέον δ' ἐστὶν ὡς μά-
47 λιστα περὶ τὰ προτειχίσματα καὶ τὰς τάφρους καὶ
48 τὰς χαρακώσεις· ὑπὸ γὰρ τῶν λιθοβόλων καὶ
49 στοῶν ῥᾳδίως ἁλίσκεται τὰ τείχη. περὶ οὖν ταῦτα
50 φιλοτιμητέον ἐστίν, ἵνα ὡς ἰσχυρότατα ⟨τὰ⟩ προ-
51 τειχίσματα καὶ αἱ χαρακώσεις, καὶ αἱ τάφροι
86 ὡς πλεῖσται καὶ βαθύταται γίνωνται· τού-
2 των γὰρ ἁρμοζομένων οὐθὲν ἂν πάθοι δεινὸν ἡ πόλις.

3 Ὀρθῶς δὲ δεῖ τὰς τειχοποιίας ποιεῖσθαι
4 προορῶντα τοὺς τόπους· ἄλλη γὰρ ἄλλῃ ἁρ-
5 μόττει, οἷον ἡ μὲν μαιανδρώδης τῇ πεδινῇ· ἡ δὲ ἐκ
6 τῶν ἡμικυκλίων καὶ πριονωτή, ὅταν ὁ τόπος
7 ᾖ σκολιός, ὃν ἔσω δεῖ περιλαβεῖν· ἡ δὲ διπλῆ,
8 ὅταν κόλπους καὶ ἀναχωρήσεις ἔχῃ, τὸ πόλισμα
9 ὅπου δεῖ κτισθῆναι· ἡ δὲ λοξὰ τὰ μεσοπύρ-
10 για ἔχουσα τοῖς τριγώνοις εἴδεσιν· ἡ δ' ἀρ-
11 χαία τοῖς περιφερέσι χωρίοις. εὐλαβητέον τ' ἐστὶν
12 ἐν πάσαις ταῖς πυργοποιίαις, ἵνα κατὰ μη-
13 θὲν τὸ τεῖχος ἀμφίβολον οἰκοδομῆται. δεῖ δὲ καὶ
14 τῶν ἀγαθῶν ἀνδρῶν τοὺς τάφους καὶ πολυάν-
15 δρια πύργους κατασκευάζειν, ἵνα ᾗ τε πόλις ἀ-
16 σφαλεστέρα γίνηται καὶ οἱ μὲν δι' ἀρετὴν ⟨......⟩, οἱ
17 δ' ὑπὲρ τῆς πατρίδος τελευτήσαντες ἐν αὐτῇ
18 τῇ πατρίδι καλῶς ὦσι τεθαμμένοι. τούτων δὲ
19 ὧν δεδηλώκαμεν πασῶν τῶν πυργοποιιῶν ἐν
20 αὐτῷ σοι τῷ βιβλίῳ τὰ σχήματα γέγραπται,
21 σαφέστερον ἵνα καταμάθῃς.

---

45 ⟨αὐτῇ ὡς⟩ ἐρύματι Gra 'immo ἐρύματι χρ. ⟨αὐτῇ⟩' Br | ἡ PV | [μὴ] ᾖ χρήσιμος, ἡμῖν δὲ ⟨μὴ⟩ Gra μὲν ᾖ χρ., ἡ. δὲ ⟨βλαβερὰ⟩ Die | 46 σπουδάστεον V corr. m[1] | 47 τὰς om. VE | 48 τὰς σχαρακώσεις E | 49 ῥαδίως P | ἀλίσκ. PV | verba περὶ — 2 πόλις uncinis circumscripsit Gra | 50 ἐστὶ PV(E?) | ὡς] ὦσιν PVE corr. Gra | ἰσχυρώτατα PV | ⟨τὰ⟩] ⟨ᾗ τὰ⟩ Gra fortif. de Carth. p. 199 | 1 ὡς] ὡσεὶ PVE corr. Gra | 2 ἁρμοζ.] 'f. περισωζομένων' Die | 3 ὀρθῶς δ' ἔχει Br Va | 5 μαιανδρώδης] αι ex ε vel ε ex αι factum a m[1] in V | 6 καὶ in ras. P | καὶ ⟨ἡ⟩ Gra | 7 ἡ PV | περιβαλεῖν VE (de V errat Gra) | διπλὴ PV | 8 ἔχη PV | 9 ὅπου] ὅπερ Gra; sed sufficit distinctio a Br emendata | κτιθῆναι PVE corr. R | 12 κατὰ] καὶ PVE | 14 καὶ ⟨τὰ⟩ Gra | 15 'f. ⟨ὡς⟩ πύργους' E. Curtius | 16 lac. indicavit Br | 18 τεθαμένοι P | 19 ὢν V | 20 αὐτῷ] ἐσχάτῳ ci. Haase Ersch et Gruber s. v. Philon p. 434 n. 42 | τα V | 21 καταμάθης PV

II

86 ’Ορθῶς δὲ ἔχει δη-
22 μοσίᾳ καὶ κατὰ τὰς ἰδίας οἰκίας ἀποκεῖσθαι πολλὰ
23 τῶν ἀσήπτων, οἷον κάχρυ καὶ τὸν ἐν τοῖς δράγ-
24 μασι πυρὸν καὶ ἐρεβίνθους καὶ θέρμους καὶ
25 ἱππάκην καὶ ὀρόβους καὶ σήσαμον καὶ μήκωνας
26 πρὸς τὰς τῶν φαρμάκων συνθέσεις, ἔτι δὲ κέγ-
27 χρον· πρὸς δὲ τοὺς φοινικίνους ἄρτους· καὶ παρὰ
28 τοῖς εὐπόροις τῶν πολιτῶν κρέα κρεμαστὰ ⟨καὶ⟩ συγ-
29 κείμενα ἐν οἰνηρᾷ τρυγίᾳ, ἄλλα δὲ ἡλισμένα·
30 πρός τε γὰρ τροφὴν καὶ ἰσχὺν οὐ μικρὰν συμ-
31 βαλεῖται καὶ αὐτάρκειαν παρέξεται πᾶσαν οὐδὲν
32 ἀρτύσεως οὐδ’ ἁλὸς προσδεομένην· καὶ ἀράκους
33 μάλιστα μὲν πεφωσμένους, εἰ δὲ μὴ ὡς ἔχει·
34 ἄλλους ἐν ἀμόργῳ πεφυραμένους· οὕτω γὰρ
35 ἄσηπτον γίνεται· καὶ ἥπατα ἔξω τῶν ὑείων ἔχοντα
36 τὴν χολὴν ἡλισμένα καὶ ἐξηραμμένα ἐν σκιᾷ·
37 ἀπαθέστερα γὰρ οὕτω διαμένει. συνάγειν δὲ
38 ταῦτα δεῖ παρὰ τῶν μαγείρων καὶ τῶν ἰδιω-
39 τῶν ψηφίσματι περιβάλλοντας. τὰς δὲ κριθὰς δεῖ
40 καὶ τοὺς πυροὺς ⟨φυλάσσειν⟩ ὡς βέλτιστα καθάραντας καὶ
41 σειροὺς ὡς βαθυτάτους ὑπαιθρίους ὀρύξαντας
42 καὶ τούτων τό τε ἔδαφος ἀλείψαντας ὅσον ἐπὶ
43 τέσσαρας δακτύλους τὸ βάθος καὶ κύκλῳ πε-
44 ριαλείψαντας πηλῷ διειργασμένῳ καὶ ἠχυρω-
45 μένῳ ἀμόργῳ· ἔστω δὲ τὰ μὲν δύο μέρη χνοῦ,
46 τὸ δὲ ἓν ἄμμου εἰς τὸν πηλὸν ἐμβεβλη-

---

22 δημοσία PV | πολλὰ] ἀλλὰ PVE ἄλλα ⟨τε⟩ Gra ad p. 85,25 | 23 οἷον P | 25 ὀρό-βους PV | 27 post κέγχρον vel post ἄρτους videntur inserenda verba v. 32 καὶ ἀράκους—35 γίνεται | 27 φοινικικοὺς PV | παρα P | 29 τρυγία PV | ἀλλὰ δὲ ἡλι-σμένα V ἄλλα δὲ ἡλισμένα P | 30 μικρὰ R Th Va | συμβάλεται PV corr. Bue | 32 πρὸσδεόμενον PV corr. Va προσδεόμενα R | καὶ ἀράκους κτέ] cf. ad v. 26 | 33 ὧς V | 34 ἀμόργω PV | 35 ὑιῶν P ὑῶν V corr. Die | 36 σκιὰ PV | 39 τὰς δε V | 42 τό, τε PV | ἀλείψαντα PV corr. R del. Th mg | 43 κύκλω PV | 44 διειρ-γασμένω P | ἠχυρωμένω P (ἠχ.) V | f. ἠχυρ. καὶ διειργ. coll. Cat. r. r. 92; Varro r. r. I 57,1; Col. I 6,13; ‘f. v. 45 ⟨καὶ βεβρεγμένῳ⟩ ἀμ.’ Br | 45 ἀμέργῳ PV | χνοῦς PV | 46 ἄμμον PV

86 μένα. ἐν τούτοις καλῶς ἔχει θησαυρίζειν ὡς
48 ἂν μάλιστα ξηρανθῶσιν. ἐμβληθέντος δὲ τοῦ
49 σίτου δεῖ ὄξους κεράμιον ὡς δριμυτάτου εἰς
50 τὸν μέσον ἄχρι τοῦ τραχήλου κατορύξαι· καὶ
51 περιβαλόντα ἄνωθεν κωνοειδεῖ σχήματι πλίνθοις
87 καταλεῖψαι πηλῷ· οὕτω γὰρ ἄσηπτος γίνεται.
2 τίθεται δὲ καὶ ἄλλον τρόπον ἐν ὑπερῴοις δια-
3 ληλειμμένοις [ἐν] ἀμόργῳ τοὺς τοίχους καὶ τὸ ἔ-
4 δαφος, καὶ τὰς θυρίδας ἔχουσι καὶ διεκπνοὰς
5 πλείους ἐστραμμένας πρὸς βορρᾶν καὶ πεφραγ-
6 μένας δικτύοις, ἵνα μήθ' ὑπὸ τῶν ὀρνίθων
7 κατεσθίηται μήτε θηρία ἐγγίγνηται· ὁ πυρὸς ⟨δ' οὐ⟩ σήπεται
8 τεθέντος ὡσαύτως ὄξους.
9 Ἐὰν δὲ ξύλων σπανίζωμεν, δεῖ τοὺς σιτοβο-
10 λῶνας οἰκοδομεῖν οὕτως· ὅταν ὑποβαλώμεθα τοὺς
11 θεμελίους τοῦ οἰκοδομουμένου οἴκου, λαβεῖν τὸ
12 ἥμισυ τοῦ πλάτους ⟨καὶ⟩ τοσούτου ὕψους ἡμικύκλιον ποιῆ-
13 σαι· καὶ πρὸς τοῦτο διὰ τριῶν πηχῶν οἰκοδο-
14 μεῖν ἐφ' ἑκατέρου τοῦ τοίχου ἀψῖδας πλινθίνας·
15 ἔστω δὲ πλάτη αὐτῶν ⟨.......⟩ δύο πλίνθων ἐπιτεθεισῶν
16 ἐπὶ τῶν θεμελίων τὰς ἀψῖδας ἐξῆχθαι δεῖ ὅ-
17 σον πῆχυν τῷ μήκει· ⟨.......⟩ τῷ δὲ πλάτει δίπηχυ
18 ποιητέον., τοῦτο δὲ ἔστω ξεστῶν λίθων ἢ συγκρου-
19 στῶν ὡς μεγίστων, ἵνα δύνηται τὰ βάρη φέ-
20 ρειν. ὅταν δὲ συναχθῶσιν αἱ ἀψῖδες, ἐπὶ τῶν θε-
21 μελίων ὀρθοὺς οἰκοδομῆσαι τοίχους· τὸ δ' ἀνὰ μέσον
22 διάστημα τῶν τοίχων καὶ ἀψίδων πλίνθοις ἀποπλη-
23 ρῶσαι, ὥστε τετράγωνον γενέσθαι τὸ οἰκοδόμημα
24 ἴσον τὸ ὕψος ταῖς ἀψῖσιν ἔχον. εἶτα εἰς τὰ ἀνὰ
25 μέσον τῶν ἀψίδων διαστήματα στρωτῆρας ἐπιβαλεῖν

---

47. 48 ὡς ἂν] ἂν ὡς Br | 50 τὸν] τὸ R | 51 ἄνωθεν ⟨ἐν⟩ Die | f. πλίνθους | 1 κατ-άλεῖψαι P κατὰλ. V | f. γίνεται ⟨ὁ σῖτος⟩ | 2 ὑπερώοις PV | 2. 3 διαλελειμένους PV | 5 βορὰν PV corr. Ha | 6 μὴδ' PV | 7 κατείσθηται V κατεῖσθηται P | ἐγγίγνεται PV | 12 τοσοῦτον ὗψος P(τοσούτον)V ὕψους R | 13 πρὸ τούτου PV | διὰ] δεῖ PV | 14 ἑκάτερα PV | ἀψίδας V | 15 f. ⟨δύο πήχεων· καὶ⟩ | 16 ἀψίδας V | 17 f. ⟨τῶν δὲ θεμελίων τὸ ὑπὲρ γῆς πηχυαῖον τῷ ὕψει vel μήκει,⟩ | 18 ζεστῶν PV corr. R | 20 ἀψί-δες V | 21 ἂν ἀμέσον V | 22 ἀψίδων V | 22. 23 ἀποπληρώσει PV | 23 διχοδόμημα V | 24 ἴσον V | ἀψίσιν in ἀψίσιν corr. V | 25 ἀψίδων V | στωτῆρας V; cf. Boeckh opp. VII p. 489 | ἐπιβάλλειν PV corr. Bue

87 τοὺς ἰσχυροτάτους καὶ ἄνωθεν κάλαμον καὶ κατα-
27 λεῖψαι ὡς βέλτιστα· καὶ ἐπὶ τούτοις ἐάν τε βούλῃ
28 σιτοβολῶνα οἰκοδομῆσαι, τὴν ἄνω ὀροφὴν δοκοὺς
29 διαθεὶς καὶ στρωτῆρας ἐπιβαλὼν κεράμωσον ἢ κατά-
30 λειψον ὡς βέλτιστα· ἐὰν δὲ μὴ οἰκοδομῇς, συνεχῆ
31 τὴν οἰκοδομίαν ὥσπερ καμάρας ποιεῖν καὶ οὐθὲν
32 στρωτήρων προσδεήσεται. — ἵνα δέ σοι εὔρυθμα γί-
33 νηται τὰ οἰκοδομήματα ἔχοντα σύμμετρον τὸ ὕψος
34 τῷ μεγέθει, τοὺς θεμελίους ὑποβαλ[λ]όμενος ὁπη-
35 λίκους ἂν βουληθῇς, [τούτοις ἴσον] λάμβανε τὸ ὕψος
36 τῶν ἀψίδων ἀπὸ τῶν θεμελίων ὅσον εἰρήκαμεν ⟨......⟩.
37 ⟨......⟩ ἐὰν δὲ προέλῃ μήτε μονόλιθον εἶναι τὸ
38 ὑπέρθυρον μήτε ξύλινον, μὴ ἐμπρησθῇ,
39 ποιήσας τὴν εἴσοδον ὁπηλίκην βούλει ἐξοικο-
40 δόμησον πύργους· εἶτ' ἄνωθεν τιθεὶς ξε-
41 στοὺς λίθους ἔγκλισιν ἔχοντας τοὺς μὲν εἰς
42 ἀριστερὰ τοὺς δὲ εἰς δεξιά, ἔπειτα ἐκ
43 τοῦ μέσου κατάκλεισον ἄνωθεν μὲν λίθῳ εὐ-
44 ρεῖ, κάτωθεν δὲ στενῷ ἐναρμόσας ὥσπερ σφῆ-
45 να· τοῦτο δὲ ποιήσας ἔξελε τὰς εἰς τὴν
46 δίοδον ἐμβληθείσας πλίνθους· μένει γὰρ ἀσφα-
47 λῶς. χρήσιμον δὲ τοῦτο καὶ ἐν ταῖς πυργο-
48 ποιίαις, ἀντὶ τῶν ψαλίδων ἐάν τις βούλη-
49 ται οὕτως κατασκευάζειν τὰς πυλίδας.

Τοὺς
50 μὲν οὖν σιτοβολῶνας οὕτω κατασκευαστέον
51 ἐστίν. τυγχάνει δὲ τοῦ σίτου ἀπαθέστερος ὁ σπα-

---

26 ἰσχυρωτάτους PV | 27 βούλη P | 28 δοκοὺς cf. Boeckh l. c. p. 498 | 29. 30 κατὰ ψιλὸν P κατὰ ψηλὸν V corr. Th mg | 30 ἐάν τε μὴ Bue | οἰκοδομῇς PV οἰκοδομῆσαι Bue | συνέχῃ PV | 31 'f. ποίει' H. Schoene probante Bue | 33 οἰκοδομήματα V | τῷ ὕψει PV | 34. 35 ὁπολίκους V | 35 ἐὰν βουληθῇ PV corr. Ha | [τούτοις ἴσον] del. Br | 36 ἀψίδων P; in V dubium utrum ἀ. an ἁ. | ὅσον εἰρήκαμεν] v. 11. 12 | 37 μονόθυρον PV corr. Ro 'f. μονόξυλον' Th mg 'f. μονοθύρεον' Die; 'f. μείουρον' Bue | 38 μὴ] μήτ' PV | ἐμπρησθῇ V | 39 ἐξοίκ. PV | 40 πύργους] πλίνθους Ro: 'on comblera cette ouverture avec des briques' (cf. v. 46); 'εἰσοικοδόμησον πλίνθους' Br coll. Thucyd. II 75,4 | εἶτε PV vd. ad p. 88,6 | τιθεὶς] 'f. τίθει vel ἐπίθες' Br | 41 ἔγ-κλεισιν PV corr. Th mg | 43. 44 εὐρεῖ P λίθῳ ἄ. μ. εὐ. Br | 44 στεγνῷ PV corr. Br | 45 εἰς τὸν V | 46 'f. μενεῖ' A. Schoene | 47 δε V

88 ρεὶς καλῶς εἰς κατειργασμένην γῆν καὶ θε-
2 ρισθεὶς ξηρὸς καὶ μείνας ἐν τοῖς δράγμα-
3 σιν ὡς πλεῖστον χρόνον. γίνεται δὲ καὶ ἄλλως
4 ἄσηπτος, ἐὰν ἐκ τῆς καλάμης ὠλένας ποιή-
5 σας κύκλῳ περὶ τοὺς σειροὺς περιτείνῃς αὐτούς,
6 εἶτ' ἀργιλώδει πηλῷ διαπ[λ]άττων ἐμβάλῃς
7 τὸν σῖτον ⟨ἢ⟩ ἥπατα ἐλάφου ξηρὰ κατατεμὼν
8 μικρὰ ἐμβάλῃς· μάλιστα δὲ ἄσηπτον διαφυ-
9 λάττει τὸν πυρὸν καὶ κριθὴν καὶ τὰ ὄσπρια, ἐὰν
10 συγκόψας τὸν τῆς τήλεως καρπὸν διὰ πετρῶν
11 εἰς τοὺς σειροὺς ἀποτιθῇ τοὺς εἰρημένους
12 καρπούς, ἢ τὴν κόνυζαν ἢ τὴν ὀρίγανον ὡς ἔχει
13 διαμίσγων ἐν τοῖς σειροῖς θησαυρίζῃς τὰ
14 ὄσπρια· κἂν οὔρῳ ἔξωθεν ἐπιῤῥύτους ποιήσῃς
15 τοὺς σιτοβολῶνας, διαφυλάττουσιν ἀφθάρτους
16 τοὺς καρπούς. δεῖ δὲ τὰ τοιαῦτα οἰκοδομήματα
17 καὶ χώνας ἔχειν ἐν μέσαις ταῖς ὀροφαῖς, ἵνα
18 ἐὰν βουλώμεθα, βάλληται καὶ κατακομίζη-
19 ται ῥᾳδίως καταῤῥέων ὁ σῖτος εἰς τὸ κάτω
20 οἴκημα. τίθεσθαι δὲ προσήκει μὴ ἔλαττον
21 εἰς ἐνιαυτὸν τὸν σῖτον τὴν πόλιν· ἀγοράζειν
22 δὲ δεῖ ὅταν εὐωνότατος ᾖ καὶ διελθόντος τοῦ
23 χρόνου τὸν μὲν παλαιὸν ἀναλίσκειν, νέον δὲ
24 ἄλλον τίθεσθαι πρὸς τὰς γινομένας πολιορ-
25 κίας καὶ τὰς συμβαινούσας σιτοδείας.

Χρή-
26 σιμον δέ ἐστι καὶ σκίλλας καὶ βολβοὺς ἐν ταῖς
27 οἰκίαις ἀποτίθεσθαι καὶ φυτεύειν ἐν τῇ πόλει
28 καὶ κύκλῳ περὶ τὸ τεῖχος, ἵνα κατασκευαζο-

---

1 'f. εἰς καλῶς, coll. Theophr. c. pl. III 20,6' Br | 3 χρόνοις PV 'f. χρόνιος' Ha | 5 κύκλω PV | περιτείνης PV | 6 εἴτε PV εἶτα Th 'εἶτ' ante vocales semper restituendum esse libri docent, in quibus corruptum est εἴτε ut 87,40 al.' Bue | ἀργηλώδει PV | πολῷ P | διαπλάττων PV cf. Theophr. h. p. VIII 11,7; Geop. II 27,8 | ἐμβάλης PV | 7 ⟨ἢ⟩ add. Bue; an v. 6 ἐμβάλῃς del.? | 8 ἐμβάλης PV | δὲ om. V | 9 ὄσπρια V | 11 ἀποτεθῇ PV ἀποθῇς Schneider ind. scr. r. r. sub v. σειροί | 12 ὀρίγανιν PV corr. R | 13 θησαυρίζεις PV | 14 κἂν οὔρῳ] καδούρω PV cf. Geop. II 27,5 | ἐριρρύτους V ἐρρύτους P 'ἐῤῥύτους pro ἐνρύτους' Lobeck in adverss. mss. | ποιήσεις PV | 19 ῥαδίως PV | καταρρέων PV | 21 ⟨ἢ⟩ εἰς? sed cf. Lob. ad Phryn. p. 410 | 22 δι||ελθόντος V | 27 οἰκεῖαις P οἰκείαις V | 28 κύκλω PV

88 μένου τοῦ ἐπιμο⟨νι⟩δίου φαρμάκου μηθὲν ἡμῶν
30 πάσχωσιν οἱ πολῖται ⟨κατὰ . . . .⟩ καὶ τὰς συμβαινούσας σι-
31 τοδείας. συντίθεται δὲ τὸ λελεγμένον φάρ-
32 μακον κατὰ τρόπον ἀφεψηθείσης
32 ⟨σκίλλης καὶ πλυθείσης ὕδατι καὶ ξηρανθείσης⟩ κα-
33 τακοπείσης ⟨τε⟩ ὡς λεπτότατα καὶ μετὰ ταῦτα παρα-
34 μιχθέντος εἰς αὐτὴν σησάμου μὲν τοῦ
35 πέμπτου μέρους, μήκωνος ὡς πεντεκαιδεκάτου·
36 καὶ πάντων τούτων λεανθέντων ἐν τῷ αὐτῷ,
37 ὡς βελτίστῳ μέλιτι φυράσαντα διελεῖν ὅσον
38 εἰς ἐλαίας τὰς μεγίστας γινομένας· καὶ τούτων
39 ἓν μὲν περὶ δευτέραν ὥραν, ἓν δὲ περὶ δε-
40 κάτην ἀναλίσκων ⟨τις⟩ οὐθὲν ἀπὸ λιμοῦ πάθοι ἂν δεινόν.
41 ἔστι δὲ καὶ ἄλλο παραπλήσιόν τι τού-
42 τῳ φάρμακον, ὃ δεῖ συντιθέναι τοῦτον τὸν τρό-
43 πον· λαβὼν σησάμου Ἀττικὸν ἡμίεκτον καὶ μέ-
44 λιτος ἡμίχουν καὶ ἐλαίου κοτύλην καὶ χοίνικα
45 ἀμυγδάλων γλυκέων λελεπισμένων· φρύ-
46 ξαντα τὸν σήσαμον καὶ τὰ ἀμύγδαλα κατα-
47 λέσαι καὶ σεῖσαι· εἶτα τὰς σκίλλας περιλεπίσαν-
48 τα καὶ τὰς ῥίζας καὶ τὰ πέταλα ἀποτεμόντα
49 καὶ διελόντα μικρὰ εἰς θυίαν ἐμβαλόντα τρῖ-

---

29 ἐπιμο..δίου et supra μο appictum ⁒ et in mg. V^c PV cf. ad v. 31. 32; Ἐπιμενιδείου Barocius (Hero mech. f. 3a) et L. Dindorf Thes. s. v. Ἐπιμενίδης cf. Mi J. des Sav. 1868 p. 312 s. | ἡμῶν 'cf. prooem. 1889/90 p. 9' Va; 'f. λιμῷ' Bue | 30 πάσχουσιν PV | ⟨κατὰ τὰς γινομένας πολιορκίας⟩ Va qui lacunam agnovit | καὶ] κατὰ Th mg | 31 συντίθεται δὲ usque ad p. 89,10 οὐκ ἐμποιεῖ leguntur tamquam scholion adscripta ad Anonymi sive Heronis Poliorcetica in Poliorcet. gr. p. 203,3 We; edidit Wescherus ib. p. 277 ss. e codice Bononiensi (B), derivato illo e cod. Vat. gr. 1605 (G), cuius lectiones enotatas a K. K. Muellero Mus. Rhen. 1883 XXXVIII p. 454 ss. adscripsi; manifesta vitia omitto | 31. 32 συντίθεται δὲ τοῦτο τὸ ἐπιμονίδιον φάρμακον ἀφεψηθείσης G | 32 κατὰ τρόπον] sic. Va cum PV; κατὰ ⟨τόνδε τὸν⟩ vel ⟨τοῦτον τὸν⟩ τρ. R | ἀφεψησθείσης PV corr. RG | σκίλλης — ξηρ. add. GB | 33 ⟨τε⟩ add. GB | ὡς] εἰς GB | 34 σεσάλλου PV | μὲν om. GB | 35 πέμπτου] Ε̅ GB | μήκωνος ⟨δὲ⟩ R | πεντεκαιδεκάτου] Ι̅Ε̅ GB | 36 λεανσθέντων P | 37 βελτίστω βέλιτι P | φυράσαντι PV(G?)B corr. Ha | 39 περι PV | δευτέραν] Β̅ GB | 39. 40 δεκάτην] Ι̅ GB | 40 ἀναλίσκοντες (inde ἀναλίσκων τις Br) — πάθειεν δεινὸν (G?)B | ἀπὸ] ὑπὸ Br | 41 ἔστι — 42 συντιθέναι] ἄλλη σύνθεσις φαρμάκου συντιθεμένη GB | 43 λαβῶν V f. λαβεῖν | σησάμου] σήσαμον PV | Ἀττικὸν] sic Br cum PV GB coll. Galen. XIII p. 893 s.; XV p. 201 K | 44 σχοίνικα P | 45 φρύξαντες PVGB | 47 εἶτας τὰς V | κέλλας V | 48 πετάλα V | 49. 50 τρίψαι PV

88 ψαι ὡς λειότατα· μετὰ δὲ ταῦτα τῶν τετριμ-
51 μένων σκιλλῶν ⟨ἴσον⟩ τῷ μέλιτι τρῖψαι ὁμαλῶς
89 ἅμα τῷ ἐλαίῳ καὶ ἐγχέαντας εἰς χύτραν ἑψεῖν
2 ἐπιθέντας ἐπ' ἀνθρακιᾶς· ὅταν δὲ ἄρξηται ζεῖν
3 παρεμβαλόντα τοῦ σησάμου καὶ τῶν ἀμυγδάλων
4 ἅμα ξύλῳ διακινεῖν μέχρις ἂν ἅπαντα ἐμ-
5 βληθῇ· ὅταν δὲ γένηται στερεὸν ἰσχυρῶς, ἀφελόντα
6 διελεῖν ὅσον εἰς ψωμοὺς μικρούς· καὶ ἕνα πρωί,
7 ἕνα δείλης ἀναλίσκων ἄν τις ἱκανὴν ἔχοι τρο-
8 φήν. τυγχάνει δὲ καὶ πρὸς τὰς στρατιὰς ἱκανὸν τοῦτο
9 φάρμακον· ἡδὺ γάρ ἐστι καὶ πλήσμιον καὶ δίψαν
10 οὐκ ἐμποιεῖ.

Συντίθεται δὲ βρῶμα καὶ ἐκ τοῦ τῆς μο-
11 λόχης καὶ ἐκ τοῦ τῆς σκίλλης καρποῦ, ἴσων μιχθέντων
12 τούτων καὶ ἐν ὅλμῳ κοπέντων καὶ μετὰ ταῦτα καὶ μέ-
13 λιτι ἑφθῷ φυραθέντων, καὶ τῶν ἴσων ψωμῶν τοῖς
14 εἰρημένοις διδομένων τροφὴν ἱκανὴν παρέχεται
15 τοῖς πολιορκουμένοις. ἐσθίεται δὲ καὶ ἡ σκίλλα καὶ ἀ-
16 φεψηθεῖσα καὶ ὁμοίως τῷ βολβῷ σκευασθεῖσα καὶ
17 ἐγκρυφθεῖσα καὶ ὀπτηθεῖσα καλῶς, εἶτα περιλη-
18 φθεῖσα· καὶ σὺν τῷ ὀροβίνῳ ἀλεύρῳ ἐν τῷ αὐτῷ
19 κοπεῖσα πίνεται ἐν οἴνῳ κεκραμένῳ ὅσον τρισὶ
20 κοτύλαις καὶ μέλιτι, [μ]ὲν αὐτῷ τῷ οἴνῳ διατηχ-
21 θεῖσα οὕτως ὥστε γίνεσθαι τὸ πάχος ὡς κυκεῶνα·
22 τοῦτον δὲ τὸν τρόπον προσφερομένη τροφὴν ἱκανὴν
23 παρέχει καὶ κάθαρσιν διὰ τῶν οὔρων οὐκ ἄτοπον
24 ἀπεργάζεται. γίνεται δὲ καὶ ἐξ αὐτῆς ἄρτος τρὶς ἀ-
25 φεψηθείσης λείας καὶ μιχθείσης τρίτῳ μέρει σται-

---

50 τὸν τετριμμένον σκίλον G | 51 ⟨ἴσον⟩ add. GB | τῶ P | τρίψαι PV | 1 ἐγχέοντας GB | 2 ἀνθρακίας V | 4. 5 ἐμβληθῆ P ἑνωθῇ (G?)B quod probat Mi | 6 ὅσον om. (G?)B; del. Br | 7 ἄν om. (G?) B | ἔχει (G?)B | 8 στρατείας Bue ad p. 58,5 | 8. 9 στρατιὰς τοῦτο τὸ φάρμακον ἀγαθόν GB | 9 πλίσμιον PV | 10. 11 μολόχος V | 12 ὀλκῶι PV ὀλκῷ Th mg ὅλμῳ Th in textu | μετα PV | 13 ἑφθῶ PV | 17 ἐγκρυφθεῖσα] vd. Bentl. ad Callim. fr. 157 | 17. 18 περιληφθεῖσα] 'περιλαβεῖν v. proprium ciborum aliis involutorum in medicina, non seorsus comestorum' Bue | 18 σὺν] ἐν PV corr. Bue | 19 κεκραμμένῳ PV | 20 ἐν] μὲν PV corr. Bue | 24 γίνονται PV | 25 'f. ⟨καὶ τριφθείσης vel τριβείσης⟩ λείας' Br | 25. 26 σπαστο et supra lin. et in mg. V^c PV σταιτὸς Bue coll. Dioscorid. Π 202; (an σταιτὸς ⟨δς⟩?) 'vel παστοῦ vel ⟨ἀλεύρων ὡ⟩ς παστός, cf. Eustath. ad Il. p. 1278,58 Hesych. πάστα' Die

89 τὸς τροφὴν ἰσχυρὰν παρέχεται τοῦτον τὸν τρόπον θεραπευ-
27 θεῖσα. ὡσαύτως δὲ καὶ τὰ σῦκα μετὰ τῶν γι-
28 γάρτων καὶ τῆς σταφίδος κοπέντα καὶ εἰς παλα-
29 θίδα διαμερισθέντα καὶ μαράθῳ διαχρισθέντα
30 χρήσιμα πρὸς πολιορκίαν ὡς ἐνδέχεται μά-
31 λιστα γίνεται. παρέχεται δὲ τροφὴν οὐθενὸς χεί-
32 ρω καὶ τὰ κρέα σφοδρῶς ἑψηθέντα καὶ διατα-
33 κέντα καὶ βουτύρῳ καὶ μέλιτι μιχθέντα, καὶ ἐγ-
34 χυθεὶς πᾶς ὁ ἐξ αὐτῶν γινόμενος ζωμὸς εἰς
35 ἀγγεῖα καθαρά. χρήσιμος δ' ἐστὶ καὶ αἰγίλωψ
36 ἑψηθεὶς ἐπὶ τέφρας μαλακῆς ἐν χύτρᾳ καινῇ
37 ἐλαίῳ χρισθείσῃ· τροφήν τε γὰρ παρέχει καὶ
38 δυσεντερίαν ἰᾶται. συμφέρει δὲ καὶ κηπία ἐν
39 ταῖς ἰδίαις οἰκίαις καὶ ἐν ταῖς ἀκροπόλεσιν καὶ
40 ἔν τε τοῖς ⟨..... καὶ τοῖς⟩ τεμένεσι τῶν θεῶν κατασκευάζειν ὑγείας
41 ἕνεκεν καὶ ἐάν τις συμβαίνῃ πολιορκία· φυτευ-
42 θεισῶν γὰρ συκεῶν καὶ φοινίκων ἐὰν ἡ πόλις
43 φέρῃ, καὶ σπαρείσης τῆς Ἰνδικῆς καὶ Ἑλληνικῆς κο-
44 λοκύνθης καὶ ἄρων καὶ κράμβης καὶ θρίδακος
45 καὶ τῶν ἄλλων λαχάνων οὐ μικρὰν παρέχεται
46 ἐπικουρίαν.

Δεῖ δὲ παρασκευάζεσθαι πρὸς τὰς
47 πολιορκίας ὅπλα καὶ σίδηρον καὶ χαλκὸν καὶ πλίν-
48 θους καὶ λίθους χρησίμους πρὸς τὴν οἰκοδομίαν
49 καὶ βέλη καὶ πετροβόλους καὶ ὀξυβελεῖς κα-
50 ταπάλτας καὶ μηχανοποιὸν καὶ ἄνδρας οἳ
51 χρήσιμοι τοῖς ὀργάνοις ἔσονται, καὶ κοφίνους
90 καὶ δικέλλας καὶ ἄμας καὶ ἁμάξας καὶ ἀξίνας καὶ
2 σκαφεῖα. δεδοκιμάσθω δὲ ταῦτα πάντα κατ' εἰ-
3 ρήνην ἐν ταῖς ⟨οὐ⟩ χρείαις, ἵνα μὴ κατὰ πόλεμον ἐν ταῖς συμ-
4 βαινούσαις χρείαις συντριβόμενα ἀχρεῖα γένη-

26. 27 θεραπευθεῖσιν Bue | 27 σύκα PV | 28 σταφῖδος PV | 28. 29 f. παλαθίδας; 'f. παλαθίδια' Bue | 31 παρείχεται PV | 33. 34 in mg. ⸓ PV | 35 αἰγίλ. P | 36 ἐπι P | ἐπὶ τ. μ.] 'ita Latini "ad lentos carbones" et "mollissimis carbonibus" (ut Pelagonius mulomed. 384 Ihm.)' Bue; μαλακῶς Ro et (coll. v. 32 σφοδρῶς) Br | χύτρα PV | 38 κηπεία PV | 41 συμβαίνη P (η ex ει corr. m[1]) | 43 φέρῃ καὶ] φέρηται PV | 44 ἀρῶν PV corr. Ro | 46 cf. ad p. 90,24 | 1 δίκελλας PV | ἅμμας PV corr. Ro ('amas' Ca) | 2 σκαφέα PV corr. Die Bue ('alveolos' i. e. σκαφία Ca) | 3 ⟨οὐ⟩ add. Va [ἐν ταῖς χρείαις] del. Gra p. 165 | ἵνα — 4 χρείαις om. VE | 4 ἀχθεῖα PV corr. R

90 ται. πρὸς δὲ τούτοις φορμοὺς δεῖ ὑπάρχειν ἐν
6 τῇ πόλει ὡς ἰσχυροτάτους καὶ πλείστους πρὸς τὸ ἐάν τι
7 πέσῃ τοῦ τείχους τοὺς κινδυνεύοντας ἐμπιπλάντας
8 αὐτοῖς ταχὺ παρασκευάζειν ἀσφάλειαν αὐτοῖς· χωρὶς
9 δὲ τούτων βύρσας καὶ πίσσαν καὶ μόλιβον καὶ
10 θεῖον καὶ σχοινία παχέα καὶ λεπτὰ καὶ χάρακα καὶ
11 φῦκος καὶ στυππίον καὶ οἶνον καὶ ἔλαιον καὶ ὄξος καὶ
12 σπέρματα καὶ ξύλα καύσιμα ὡς πλεῖστα καὶ ναυ-
13 πηγήσιμα ὡς πλεῖστα στρογγύλα καὶ τετράγωνα καὶ
14 κώπας καὶ φοινικίνας σανίδας καὶ δᾷδας· καὶ τὸ Ἀ-
15 ραβικὸν φάρμακον καὶ κογχύλιον τὸ ἐν τῇ λίμνῃ
16 γιγνόμενον, ᾗ ἀπέχει ἀπὸ ἀκτὶς πεντήκοντα στα-
17 δίους, καὶ ἰξόν, καὶ σαλαμάνδρας καὶ ἰὸν ἐχέων καὶ
18 ἀσπίδων καὶ ναπτάλιον ⟨δ⟩ ἐν Βαβυλῶνι γίνεται καὶ
19 ἰχθυηρὸν ἔλαιον πρὸς τὸ φθείρειν πολεμίων ἐπι-
20 πορευομένων τὰ ὕ⟨δα⟩τα κἂν προελώμεθα κατὰ τοὺς
21 γινομένους κινδύνους [πρὸς] τὰ μηχανήματα ἐμπι-
22 πράναι καὶ ἀλείφειν τὰ βέλη, [τ]ἵνα φόβον καὶ φθορὰν
23 ταχεῖαν παρασκευάζῃ τοῖς τιτρωσκομένοις καὶ προσ-
24 βάλλουσι πρὸς τὸ τεῖχος.

Ἐὰν δὲ σαπρὰ γένηται τὰ
25 ὕδατα, κρίθινον ἐμβάλλειν δεῖ θερμὸν ⟨ἢ⟩ εἰς τοὺς δύο
26 χοέας ὄξους βελτίστου ὅσον κύαθον ζέσαντος ἐγχέαι
27 καὶ μετ᾽ οὐ πολὺν χρόνον χρήσιμα γίνεται.

28 Δεῖ δὲ καὶ τρυπητῆρα χαλκοῦν ἢ κεραμεοῦν

---

6 ἰσχυρωτάτους PV | 7 οἱ κινδυνεύοντες PV | ἐμπίπραντες PV | 8 αὐτοῖς] 'f. αὐτοὺς coll. p. 93,31' Br | ἀσφάλειαν] in P in extrema linea ∵ | αὐτοῖς PV | 9 μόλινβον V | 11 στίππυον P στύππιον V (ι in υ mutavit m[1]) | οἶνον P | 12 σπειράματα Die; σπάρτα Bue | [ὡς πλεῖστα] del. Br | 14 δάδας PV | 15 κογχύλιον cf. Iul. Afr. Cest. 2 p. 290,49 Th τῷ ἰχθυίνῳ ἐλαίῳ ... καὶ τῇ θαλαττίᾳ πορφύρᾳ, ἅπερ ἐπὶ πολὺν χρόνον ἅπαν ὕδωρ ἄποτον ποιεῖ | λίμνη· P | 16 ἢ PV | ἀκτὶς] 'ἀκτῆς non sufficit; expectamus Phoeniciae regionem, Ἄκης?' Bue | 18 ναπτάλιος PV | ⟨δ⟩ add. Bue ⟨ἡ⟩ R ⟨ἣ⟩ Ha | 19 ἰσχυὴρον V ἰσχυρὸν P corr. Th 'incendiarium' Ca | ⟨τὰ ὕδατα⟩ πολεμίων coll. p. 103,33 add. Gra p. 161 | 20 ταῦτα δ᾽ ἂν προελ. PV corr. Bue | καὶ PV corr. Th mg | 22 ἵνα] τινὰ PV | 23 ταχείαν παρασκευάζει PV | 24 ἐὰν δὲ — 27 γίνεται f. transponenda in p. 89,46 post ἐπικουρίαν | 25 κρίθινον] ⁒ supra ον et in mg. ⁒PV f. addendum οἶνον sive aliud simile; sed vd. Ath. X 447a | ⟨ἢ⟩ add. Br | 26 ζέσαντας PV corr. Br | 28 Δεῖ δὲ κτέ.] Aeneae locum apud Polyb. X 44 primus attulit I. G. Schneider in Lex. s. v. τρυπητήρ; similia refert Polyaen. VI 16,2

90 κατασκευάσαι μὴ ἔλασσον ἢ τέσσαρας χωροῦντα
30 μετρητάς, ἐν ᾧ διαγράψαντι ἐν ταῖς μοί-
31 ραις ἔσται γεγραμμένα τάδε· νέος σῖτος ξύλα
32 ὅπλα στρατιῶται καὶ ἄλλο ἐάν τι θέλῃς
33 γράψαι τῶν κατὰ πολιορκίαν ἢ κατὰ ⟨........⟩ παρα-
34 σκευαζομένων καὶ ἐκλειπόντων· τούτων δὲ γε-
35 γραμμένων καὶ τετρυπημένου τοῦ τρυπητῆρος
36 ὕδατος ἐγχυθέντος σημαίνειν τῆς νυκτὸς κατὰ τὰς
37 πυρσείας εἰς ὃ ἂν προαιρῇ στρατόπεδον ἢ πό-
38 λιν ἢ φυλακτήριον, ὥστε ἐκ διαδοχῆς ἀφι-
39 κνεῖσθαι ὅπερ οἱ πυρσοὶ δυνατοί εἰσιν σημαίνειν,
40 τίνος δέονται οἱ πολιορκούμενοι· δεῖ δὲ ἐν τοῖς
41 προειρημένοις τόποις ὁμοίους καὶ ἴσα ἔχοντας
42 τρυπήματα [καὶ] ἄλλους τρυπητῆρας εἶναι τὰς
43 αὐτὰς ἐπιγραφὰς ἔχοντας τῶν ὀνομάτων ἐν ταῖς
44 αὐταῖς μοίραις, ἵνα αἰσθάνηται, τίνα χρείαν ἔ-
45 χουσιν οἱ πολιορκούμενοι συνθέματος αὐτοῖς ὄντος ⟨......⟩.

III

46 Τούτων δὲ παρεσκευασμένων πρὸ τῆς
47 μελλούσης γενέσθαι προσβολῆς ἐφιστάναι δεῖ
48 τὰ βέλη πάντα κατὰ τοὺς προσήκοντας ἑκά-
49 στῳ τόπους.

⟨......⟩ καὶ φείδεσθαι τῶν στρατιωτῶν καὶ τῶν
50 πολιτῶν ὡς μάλιστα κατὰ τοὺς γινομένους κιν-
51 δύνους καὶ μὴ ἐπιτρέπειν αὐτοῖς ἐμπηδῶσιν εἰ-
91 κῇ τραυματίζεσθαι, ἵνα ὅταν ᾖ χρεία ἔ-

---

30 ⟨.....⟩ ἐν ταῖς Br | 31 ἔσται] f. ἔστω | νέος] 'f. οἶνος' Die; 'νέος οἶος cf. p. 88,23' Va | 32 θέλῃς PV | 33 καταπολιορκίαν V | ἢ κατα P 'quae ad obsidionem aut praeparata non sunt aut defecerunt' Th lat. cf. Ro; 'f. κατὰ ⟨σιτοδείαν⟩' Va; 'f. κατὰ παρασκευὰς ζητουμένων talia' Bue | 35 πεπληρωμένου Th mg | 37 εἰς ὃ] ἴσως P ἴσως V corr. Th mg | προαιρῇ PV | 38 ἐκ] καὶ PV corr. Th mg | 39 f. οἷπερ | 41 τόποις] τούτοις PV corr. Th mg | ἔχοντα PV | 44 f. αἰσθάνωνται | 45 f. συνθήματος; sed vd. Lob. ad Phryn. p. 249 | 47 f. γίνεσθαι | ἐφεστάναι PV | 49 καὶ φείδεσθαι — 91,2 καιροῖς ab hoc loco aliena | στρατιῶν V | 51. 1 εἰκῇ PV | 1 χρεῖα P

91 χῃς τοὺς κινδυνεύοντας ἐν τοῖς καθήκουσι
3 καιροῖς.

⟨.....⟩. μετὰ δὲ ταῦτα ⟨πρὸς⟩ τοὺς [μὲν] πετροβό-
4 λους ὀρθῶς ἔχει τὰς ἐκ τῶν φοινίκων σανί-
5 δας συνδήσαντας καταχρεμάσαι πρὸ τοῦ τεί-
6 χους — ἰσχυραὶ γάρ εἰσι καὶ δυσέμπρηστοι —, ἔ-
7 πειτα μαλάγματα πρὸ αὐτῶν ⟨, ᾗ⟩ ἀλλήλαις ἐπι-
8 βάλλονται, ἵνα μὴ αἱ συναρτήσεις αὐτῶν δια-
9 κόπτωνται ὑπὸ τῶν βελῶν· ἢ ἐκ τῶν σχοινίων
10 πλέξαντας δίκτυα καὶ φυλάκους ἐμπλήσαντας
11 κατασπᾶν. ἄνωθεν δ' ἐκ τῶν ἐκκειμένων ξύλων
12 αἱ ὁρμιστηρίαι δέδενται τῶν σανίδων καὶ τῶν μα-
13 λαγμάτων· δέρρεις δὲ δεῖ πρὸ αὐτῶν κατα-
14 πετάσαι, ἵνα μὴ ὑπὸ τῶν βελῶν οἱ δεσμοὶ ἀπο-
15 κόπτωνται. ἀνθιστάναι δὲ χρήσιμον πρὸς ἕκαστον
16 αὐτῶν δύο δεκαμναίους λιθοβόλους, οὓς δεῖ μετα-
17 φέρειν οὗ ἂν καὶ οἱ πολέμιοι κινῶσί τινα τῶν πετροβό-
18 λων, ἵνα ἂν δύνῃ ἀνταφεὶς συντρίψῃς πατάξας τὸ
19 ὄργανον.

Πρὸς δὲ τὰς μεταλλεύσεις ὀρυκτέον ἐστὶν
20 ἀνὰ μέσον τοῦ τείχους καὶ προτειχίσματος ἱκανὴν
21 τάφρον ἰσηλίκην κατὰ βάθος τῶν θεμελίων τῷ κατὰ
22 γῆς, ἵνα φανεροὶ γινόμενοι οἱ ὑπορύττοντες
23 ῥαδίως διαφθαρῶσι καὶ μηκέτι τῷ τείχει
24 πλησιάζωσιν.

25 Πρὸς δὲ τὰς στοὰς [καὶ τὰ μηχανήματα] ⟨ἐς⟩
26 σωλῆνα ἀπὸ τοῦ ἔνδοθεν μηχανήματος ἢ
27 πύργου ἐκταθέντα ἐμβάλλειν ἔσω τριταλάν-

---

2 ἔχῃ PV | 3 ⟨πρὸς⟩ add. Ca Ro | 3. 4 πυροβόλους R Th Ca | 6. 7 ἐπὶ τὰ PV corr. Th | 7 πρὸς V | ⟨ᾗ⟩ add. Br coll. p. 99,28 | 8 αἱ in V add. supra lin. | 10 θυλάκους Th ex R; φύκους Br coll. 99,24 et Wesseling. ad Diod. XVII 45 | 12 δίδενται 'ligantur' Bue | 15 ἀνιστάναι PVE corr. Gra ad p. 81, 36 | 17 οὗ] οἷ Gra l. c. | 17. 18 πετρβόλων V | 18 δύνανται φέισ V δύνηταιφεῖς P corr. Bue δύνῃ ἀφεὶς Gra l. c. | συντρίψῃ PV corr. Gra l. c. | 19 in V in mg. V̈, quae nota pertinet haud dubie ad v. 18; in P deest | πρὸς δὲ — 24 πλησιάζωσιν] cf. Anon. Byz. XIII 8 Koe | 20 καὶ ⟨τοῦ⟩ πρ. Ca | 21 ἰσήλικον κ. β. PV ἡλίκον ἐστὶ τὸ β. Ca | θεμελίων] μελίων P | τῷ] τὸ PV Ca corr. Br coll. An. Byz. l. c. | 22 'f. γενόμενοι' Br | 23 ῥαδιως PV | μὴκέτι PV | 25 στοᾶς P | 26 σωλῆναι PV 'ἴσως σωλῆνα' R | ἀπὸ τοῦ] f. ἀπό του

91 τους λίθους· ἐπ' ἐσχάτῳ δὲ ὁ σωλὴν ἐχέτω ἑκα-
29 τέρωθεν γιγγλυμωτὰς σανίδας συγκλειομένας
30 καλωδίοις, ὧν χαλασθέντων καὶ πιεσθεισῶν
31 τῶν σανίδων ὁ λίθος ἐπιπεσεῖται ἐπὶ τὰς στοάς·
32 καὶ πάλιν τῶν καλωδίων συγκλεισθέντων [ὅλος
33 ὁ λίθος] τοῦτο ἔσται· ὡσαύτως δὲ ἀπὸ τῶν μη-
34 χανημάτων καὶ ἀπὸ κεραιῶν λίθους μεγίστους
35 ἀφιέντας καὶ τοῖς πετροβόλοις ἄνω βάλλοντας τοῖς
36 παλιντόνοις καὶ τοῖς μοναγκῶσι, διὰ δὲ τῶν κατα-
37 ξύρων θυρίδων τῶν ταλαντιαίων λίθων κάτω ἀ-
38 φιέντας πειρᾶσθαι διακόπτειν τὰς ὀροφάς· ἐκ δὲ
39 τῶν ἐπὶ τῇ στέγῃ κειμένων κατὰ μέτωπον τύπτοντας ⟨ἢ⟩
40 ἐκ τῶν πλαγίων καταβάλλειν αὐτάς. ἐὰν δὲ ὦσιν ἐκ
41 πύργων πεποιημέναι, καὶ τοὺς πυροφόρους εἰς αὐ-
42 τὰς ἀφεῖναι· καιρὸν δὲ λαβὼν ἐκπέμψας στρα-
43 τιώτας ἔμπρησον. ἐὰν δὲ ὦσιν ὀρυκταί, ὕδωρ θα-
44 λάσσης ἄνες εἰς αὐτὰς τοῖς περιάκτοις τροχοῖς
45 ⟨ἢ⟩ ἐὰν ἄλλον τινὰ δύνῃ τρόπον, καὶ τῷ ἐνετῆρι καὶ
46 τοῖς πετροβόλοις ἄνωθεν τύπτοντας κελεύειν δια-
47 κόπτειν τὰς ὀροφὰς αὐτῶν.

Πρὸς δὲ τὰ μηχανή-
48 ματα ὅταν ἐγγὺς ᾖ, καὶ τοὺς κριοὺς καὶ τὰς ἐπιβά-
49 θρας πρῶτον μὲν κατὰ τοῦτον τὸν τ[ρ]όπον ἐπᾶραι τὸ
50 τεῖχος ⟨μὴ⟩ καθελόντας τοὺς προϋπάρχοντας προμα-
51 χῶνας, ἀλλ' ἐπ' αὐτῶν τὴν οἰκοδόμησιν πεποιημέ-
92 νους καὶ ἄλλους ἄνωθεν κατασκευάσαντας κατά-
2 στεγον ποιῆσαι ταύτῃ τὸ τεῖχος, ὅπως ἂν ὑπάρ-
3 χωσί τε διπλοῖ πρὸς τὴν χρείαν ⟨καὶ⟩ ὅπως ἐὰν [πρὸς]
4 τὴν ἐπιβάθραν ἐπιβάλλωσι, κάτωθεν ῥᾳδίως διὰ
5 τῶν προμαχώνων ἐμπρήσωμεν αὐτήν, ἄν τε τοὺς

---

28 ἐσχάτω PV | σωλῆν V | 31 ὁ λίθος] sic Br ὁλίσθηλος et in mg λίθος PV ὁ λίθος ὅλος Bue | 32 'f. τῶν κ. ⟨συνταθέντων καὶ τῶν σανίδων⟩ συγκλεισθεισῶν' Br | ὅλος ὁ λίθος PV del. Br 'adscripta (ad v. 31) aberrarunt in v. 32. 33' Bue Die ἄλλος λ. Ro | 33 τοῦτο ἔσται] 'f. ταὐτὸ ἔσται' Br | 34 ἀποκεραιῶν V ἀπὸ ⟨τῶν⟩ κ. Ca | 36 πάλιν τόνοις P | 36. 37 καταξήρων PVE corr. Mi cf. Gra ad p. 81,12 | 37 'f. τὸν ταλαντιαῖον λιθοβόλον' Br | 39 τῇ] τ ex στ corr. V | τύπτονται PV | ⟨ἢ⟩ add. Die | 41 πύργων] ξύλων Th mg; 'f. ἐκ παπύρων cf. Hesych. s. v. γέρρα, alioqui praestahile γέρρων' Bue | 44 περιακτοῖς PV | τροχοῖς· ἐὰν ⟨μὴ⟩ ἄλλον Th mg | 46 f. κέλευε | 49 τρόπον PV corr. Ro | ἐπάραι PV | 50 ⟨μὴ⟩ add. Ro ⟨οὐ⟩ Ca | προὐπάρχοντας V | 51 τὴν] ἄλλην Th mg | 3 διπλοὶ P | 4 ραδίως PV

92 ἄνωθεν προμαχῶνας ἀποκόπτωσι, κριοὺς καὶ βρό-
7 χους προσάγοντες ἐκ τῶν κατὰ τοὺς ⟨κάτω⟩ προμαχῶνας ὄν-
8 των διαστημάτων εὐχερῶς ⟨πα⟩τάξωμεν αὐτούς. ἐκ-
9 τρυπήσαντες ⟨δὲ⟩ [αὐτοὺς] ταύτῃ καὶ τὸ τεῖχος κατὰ τοὺς
10 ἁρμόζοντας τόπους, κορμοὺς κατασκευάζωμεν κατὰ
11 τὰς θυρίδας περιτρέχοντας καὶ τῷ κριῷ τῷ ἀν-
12 τισκευασθέντι τούτῳ τύπτοντες ἄνωθεν τῆς
13 ἐσχάρας τὸ μηχάνημα καὶ τὸν κριὸν καὶ τὸ τρύπανον
14 καὶ τὸν κόρακα καὶ ὃ ἂν προσάγωσι, συντρίβομεν
15 ἀχαλέπως· αἱ δὲ περιφερεῖς δοκοὶ τούτων ἕνεκα
16 πλάγιαι παρὰ τὰ ἐκτρυπήματα τίθενται, ἵν'
17 εὐχερῶς ὁ κριὸς ἔξωθέν τε καὶ πάλιν ἔσωθεν περι-
18 λαμβάνηται περιτρεχόντων τῶν κορμῶν τὴν κίνησιν
19 ποιούντων λείαν. κατασκευαστέα τέ ἐστιν αὐτῷ κριόστα-
20 σις ὡς ἀσφαλεστάτη πρὸς τὸ τοὺς ὠθοῦντας αὐτοὺς
21 καλῶς βεβηκότας ὡς σφοδρότατα συντελεῖν τὰς
22 πληγάς. ἀντοικοδομητέον τέ ἐστι καὶ ταύτῃ τρίγωνον
23 τεῖχος τὸ ἔμβολον ἔχον, δι' οὗ πυλίδες ἑκατέρωθέν
24 εἰσιν οὐκ ὀλίγαι ποιητέαι πρὸς τὸ ἐὰν πέσῃ τὸ
25 μεταπύργιον ταύτῃ τοὺς βαδίζοντας ἔσωθεν τραυ-
26 ματίζεσθαι εἰς τὰ πλάγια ὑπό τε τῶν βελῶν καὶ
27 τῶν στρατιωτῶν, ἔτι δὲ ὑπὸ τῶν πολιτῶν. δεῖ δὲ καὶ
28 βάλλειν ἐκ τῶν καρβατιώνων λίθοις ὡς μεγίστοις
29 τοὺς πλησιάζοντας τῷ τείχει.

Ἐὰν δέ τι τοῦ τείχους
30 ἢ τῶν πύργων ἁλίσκηται, ἀποσπαστέον τέ ἐστιν τὴν
31 ταχίστην τὰς πρώτας ὀροφὰς καὶ τὰς καθαι-

---

8 πατάξωμεν] τάξωμεν PV | αὐτῶν PV | 9 [αὐτοὺς] videtur in mg. adscriptum fuisse ad corrigendum αὐτῶν v. 8 | ταύτη PV | 10 'f. κατασκευάζομεν' Br | 12 τούτῳ] f. ταύτῃ | 14 καὶ ἐὰν PV corr. Buc | 14. 15 συντριβόμενα χαλεπῶς PV corr. Th cf. L. Dindorf Thes. s. v. ἀχαλέπως | 16 πλαγίαι PV | 17 ἔξωθέν τε] sic VE (cf. Gra ad p. 82,8) ἐξωθέντες P | 17. 18 f. παραλαμβάνηται | 19 ποιούντων λείαν] ποίανοῦννοε et ∸ supra οε et in mg PV(E) ὁποιανοῦν νοεῖ Gra ad p. 82,8 ὁποίαν οὖν δεῖ Bue | αὐτῷ ⟨τῷ⟩ κριῷ στάσις Bue | 21 σφοδροτάτας R Th Gra l. c. | 22 ταύτη PV | 23 ἐμβόλου ⟨σχῆμα⟩ ἔχον Mi coll. Apollod. Pol. p. 140, 10 W | διοῦ V | πολίδες P 'an θυρίδες?' Br | 24 ποιητέον PV | πέσῃ] ποιῇ PV corr. Ha πονῇ Th mg | 25 ταύτῃ PV | 27 ἔτι δὲ ⟨καὶ⟩ ὑπὸ R | 28 καρβατινῶν Schneider Lex. s. v. coll. 101,32 | 30 ἁλίσκεται PV | ἀποσπασπαστέον V | 31. 32 καθαιρέσεις] καταβάσεις Gra II p. 189

92 ρέσεις ἀναιρετέον ἀποικοδομήσαντα τὰς ἑκα-
33 τέρωθεν οὔσας ⟨πυλίδας⟩ τῶν πύργων· τὰς δὲ πρὸς τὰ
34 ἔσωθεν ⟨μ⟩εσοπύργια ὑπαρχούσας καταλειπτέον,
35 ἵνα ἔχωμεν τοῖς πύργοις ταύτῃ βοηθοῦντες κτεί-
36 νειν τοὺς βιαζομένους αὐτούς. τούτου δὲ γινομένου
37 ταχὺ πάντες ἀπολοῦνται οἱ ἀναβάντες ἐπὶ
38 τοὺς πύργους ἢ τὸ μεταπύργιον [τὸ] τυπτόμενοι τοῖς
39 βέλεσι καὶ οὐκ ἔχοντες οὐδαμῇ ἀποχωρῆσαι ἀλλ'
40 ἢ εἰς τὸ ὀπίσω πάλιν ἐργωδῶς.

Ἐπιθετέον δέ ἐστι
41 καὶ ταῖς καθηκούσαις πρὸς τὸ τεῖχος οἰκίαις προ-
42 μαχῶνας καὶ τοῖς ἀμφόδοις ἑκατέρωθεν πύλας
43 κατασκευαστέον καὶ ἐκ τῶν πλαγίων τοίχων ὀπὰς
44 ποιητέον, δι' ὧν τοῖς τε ἀκοντίοις καὶ ταῖς ζιβύναις
45 καὶ τοῖς βουπόροις ὀβελίσκοις ἔσται τύπτειν εἰς τὰ
46 πλάγια τοὺς εἰς τὰ ἄμφοδα βιαζομένους· καὶ τὰς
47 ἱσταμένας οἰκίας πρὸς τοῖς εὐρυχώροις καὶ τοῖς ἀμ-
48 φόδοις ἐγγιζούσας ὁμοίως κατασκευαστέον ἐστίν.
49 καὶ κατὰ τὰς τιμήσεις τῶν οἰκιῶν ἀφοριστέον ἐστίν,
50 ὅσας τε λόγχας καὶ τοξεύματα προσήκει ⟨εἶναι⟩ καὶ
51 λίθους μεγάλους καὶ χειροπληθεῖς καθ' ἑκάστην
93 οἰκίαν· δημοσίᾳ τε εἰς ἕκαστον ἄμφοδον δοτέον ἐστὶν
2 λιθοβόλον δέκα μνῶν καὶ καταπάλτας δύο τρι-
3 σπιθάμους· καὶ τοῖς μὴ κεκτημένοις ὅπλα μηδὲ δυ-
4 ναμένους καὶ μὴ δυναμένοις κατασκευάσασθαι δημοσίᾳ δοτέον ἐστίν.
5 ἐκκοιτίας τε καὶ ἐφοδείας τὰς προσηκούσας ποιητέον,
6 ⟨ἐν⟩ αἷς χρήσονται ξυλίνοις λαμπτῆρσιν, ἵνα ὑπὸ τοὺς πό-
7 δας μόνον φαίνωνται καὶ μὴ καταφανεῖς ποιῶσι τοὺς
8 ἐφοδεύοντας τοῖς ὑπεναντίοις. τούτοις δὲ καὶ τοῖς ἀμ-

---

33 τὰ δὲ PV corr. Th | 34 ἐσοπύργια PV | κατὰ||λειπτέον P καταλειπέον V | 35 ταύτη PV | 36 'f. ⟨εἰς⟩ αὐτούς coll. p. 92,46 (93,28) 95,12; an αὐτούς i. e. ἡμᾶς αὐτούς?' Br | 37 ἀποτελοῦνται PV corr. Th mg | 38 τυπτόμενον PV corr. Gra l. c. | 40 ἢ P | 41 οἰκίας V | 41. 42 προμαχώνας P | 43 ὁ πᾶς PV corr. R | 45 ὀβελίσκοις P | 47 'f. ταῖς εὐρυχωρίαις' E. Curtius | 48 ἔστιν P | 50 ⟨εἶναι⟩ hic ins. Va | 51 χειροπλήθεις PV | 2 λιθοβόλων PV | δεκάμνουν ci. Ha ut p. 95,17 τετράμνους; sed p. 51,36. 49. 91,16 dicitur δεκαμναῖος | 3. 4 μηδὲ δυναμένους] 'f. μηδ' ἃ δεῖ ἀμυνομένους' Bue | 4 μὴ δυναμένους PV | δημοσία PV | 5 ἐφοδίας PV corr. Ca et Hercher ad Aen. p. 71 | 6 ⟨ἐν⟩ add. Ca et Hercher | ξυλίνοις] cf. Aen. Tact. XXVI 3; Iul. Afr. Cest. 69 p. 315,22 Th; Philist. ap. Poll. X 116; Polyaen. V 10,2

93 φοδάρχαις συνθήματα καὶ ὑποσυνθήματα παρὰ
10 τῶν στρατηγῶν δίδοσθαι δεῖ, τὸ μὲν φωνῆεν, τὸ δὲ ἄφω-
11 νον· δεῖ δὲ καὶ κλείεσθαι τὰς πύλας καθάπερ καὶ τὰς τῆς
12 πόλεως καὶ τὰς τῶν ἀμφόδων, ἵν' ἐάν τινες τῶν πολε-
13 μίων νυκτὸς ἢ ἡμέρας ἐμβαλόντες εἰς τὴν πόλιν
14 παρεμπέσωσιν καὶ καταλάβωνταί τινας τόπους,
15 πρῶτον μὲν τοῖς καταπάλταις καὶ τοῖς λιθοβόλοις,
16 ἔτι δὲ ⟨τοῖς⟩ τοξεύμασι καὶ τοῖς λίθοις πάντοθεν τυπτόμε-
17 νοι κακὰ πάθωσιν, μετὰ δὲ ταῦτα ἐκφοιτῶσι καὶ
18 βοηθῶσιν οἱ πολῖται καὶ στρατιῶται ἐκ τῶν ἐκκοι-
19 τιῶν καὶ τῶν ἀμφόδων συντεταγμένοι καὶ ἡγεμόνας
20 ἔχοντες ἐπιτιθῶνταί ⟨τε⟩ τοῖς πολεμίοις ὅταν ὑπο-
21 λαμβάνωσι καιρὸν εἶναι, καὶ ἐάν τι διασφάλλωνται,
22 ἔχωσιν εἰς ἀσφαλὲς ἀποχωρεῖν ἐχόντων τῶν ἀμ-
23 φόδων πύλας· οἵ τε παῖδες καὶ αἱ δοῦλαι καὶ αἱ γυ-
24 ναῖκες καὶ αἱ παρθένοι τύπτωσιν ἀπὸ τῶν στεγῶν καὶ
25 πάντες ὦσι κατὰ τὴν πόλιν ἐνεργοί. ὀρθῶς
26 δ' ἔχει καὶ κατά τινας τόπους ἔνδοθεν ἀντιτα-
27 φρεύειν καὶ κρύπτειν τὰς τάφρους, ἵνα ἐὰν πεσόντος
28 τοῦ τείχους εἰσβιάζωνται οἱ πολέμιοι, πολλοὶ δι'
29 ἄγνοιαν αὐτῶν φθείρωνται. δεῖ δὲ καὶ τὴν ταχίστην
30 καθὸ ἂν πέσῃ τὸ τεῖχος χάρακα θεμένους καὶ
31 φορμοὺς γῆς ἐμπλήσαντας προτείχισμα κατα-
32 σκευάσαι.

Καὶ οἷς ἂν ἀπιστῇς τῶν στρατιωτῶν ἢ τῶν
33 πολιτῶν, ὀρθῶς ἔχει μεταλλάσσειν αὐτῶν τὰς
34 ἐκκοιτίας καὶ τὰς φυλακὰς καὶ μὴ εἰδέναι αὐτούς,
35 καθ' ὃν τόπον φυλάξουσι τὸ τεῖχος, ἵνα μὴ δύ-
36 νωνται προδοῦναι τοῖς πολεμ⟨ί⟩οις τὴν πόλιν. με-

---

9 καὶ παρασυνθήματα ὑπὸ ci. Graux fort. de Carth. p. 183 n. 1; sed vd. p. 93,41. 44 | 10 μὲν — δὲ PV | 11 δεῖ δὲ κεκλεῖσθαι Nissen Pomp. Stud. p. 505 | alterum καὶ del. Graux l. c. p. 181; sed vd. Krueger Gr § 69,32,13; Vahlen ad Arist. Poet. p. 168[3] | 13 ἐμβάλλοντες PV corr. Nissen l. c. | 14 παρεμπέσωσιν] sic VE (cf. Gra ad p. 80, 43) παραπέμπωσιν P | καταλάβονταί PV | 16 ⟨τοῖς⟩ add. Br | 17 'f. κακὸπαθῶσιν' Br | 18 καὶ om. P | 18. 19 ἐκκοιτίων PV | 20 ἐπιτίθενται τοῖς PV corr. Nissen l. c. | 21 καιρὸς P | 23 ὅ τε V | οἱ δοῦλοι ci. Hercher ad Aen. p. 7,12 | 24 τύπτοντες PV corr. Nissen l. c. | στεγνῶν PV corr. R | 28 εἰσβιάζονται PV corr. R | 28. 29 διάγνοιαν PV | 30 ἐὰν PV | 31 ἐμπλήσαντες PV | 32 ἐπίστη PV corr. Br | 33 ἔχειν PV | μεταλάσσειν PV | 35 φυλάσσουσι PV | 36 πολέμοις PV (in V οις a m² in ras.) | τὴν] post τ una littera erasa V

93 ταλλακτέον δέ ποτ᾽ ἐστὶ καὶ τὰ συνθήματα,
38 ἵνα ἐὰν τῶν ἔνδοθέν τις κακουργῶν τὸ σύνθημα
39 δῷ τοῖς πολεμίοις ἢ αὐτοὶ ⟨.....⟩ νυκτὸς ὑποτάξαντες τῷ
40 τείχει λάβωσιν, ἀχρεῖον αὐτοῖς ᾖ γενομένης τῆς
41 μεταλλαγῆς. τὰ ⟨δ᾽⟩ ὑποσυνθήματα ἄφωνα δί-
42 δοται πρὸ τοῦ ἐὰν ἀκούσωσιν οἱ πολέμιοι τὸ σύν-
43 θημα, καταφανεῖς γίνονται οἱ λάθρα ἐπὶ τὸ
44 τεῖχος ἀναβάντες. ἔστι δὲ τὰ ὑποσυνθήματα τοιαῦτα·
45 ἀπαιτήσαντος δεῖ τὸ σύνθημα ἀφελέσθαι τὴν
46 καυσίαν ἢ τὸν πῖλον ἢ τὴν περικεφαλαίαν ἐὰν ἔχῃ
47 ἢ πρόκωπον τὸ ἐγχειρίδιον ποιῆσαι ἢ τὴν δεξιὰν
48 ἐμβαλεῖν ἢ τῆς χλαμύδος ἐπιλαβέσθαι. ξένα
49 δὲ καὶ διπλᾶ δοτέον ἐστὶ τὰ συνθήματα, ἵν᾽
50 ἐργωδῶς οἱ πολέμιοι καταμανθάνωσιν αὐτά,
51 ἐὰν [δὲ] ἐξάκουστον ἀπὸ τοῦ τείχους τι γένη-
94 ται.

⟨....⟩ καὶ αὐτῶν τὰς δοκίδας καὶ τὰς προστιθε-
2 μένας ἐκ τοῦ πλαγίου κλίμακας τύπτοντας τοῖς
3 λιθοβόλοις ῥᾴδιόν ἐστι συντρίβειν καὶ ἀποῤ-
4 ῥίπτειν ἀπὸ τοῦ τείχους, ἢ τὴν ἄφθαν ἐὰν ἔχῃς
5 ῥάναντα καὶ λαμπάδας ἄνωθεν ἐμβαλόντα
6 κατακαῦσαι· ὡσαύτως δὲ καὶ τὰς χελώνας καὶ τὰ
7 μηχανήματα ὅταν ἐγγὺς γένηται τοῦ τειχίσματος ἐμ-
8 πιπράναι. ἀφετέον δέ ἐστιν ὡς αὐτὰ καὶ πυ-
9 ροφόρους ὡς πλείστους καὶ τριβόλους καιομένους
10 στιππύῳ περιειλι⟨γμένους...

....χρη⟩στέον δέ ἐστι καὶ ταῖς πάλιν προ-

---

37 δ᾽ἐποτ᾽ PV | 38—43 totius loci interpretatio et mendarum correctio omnis Brinkmanno debetur; praeivit Ca | 39 δῶ PV | ἢ αὐτοὶ] ἑαυτοὶ PV | '⟨αὐτοὺς⟩: pro νυκτὸς hoc scribendum aut ante addendum' Bue | 40 ⟨ἐκ⟩λάβωσιν Die | ἢ PV | γεννομένης PV | 41 ἄφωνα] ἀφ᾽ ὧν PV | 42. 43 πρὸ τοῦ κτέ.] enunciatum finale requiri vidit Br; πρὸς τούτῳ ⟨ὥστε⟩ κἂν Die; f. πρὸς τὸ ἐὰν ....., καταφανεῖς γίνεσθαι τοὺς ...... ἀναβάντας; similis corruptela p. 90,6 | 43 οἵ PV corr. Th mg | 44 ἔτι PV corr. R | 45 ἀπαιτήσαντα PV corr. Bue | 46 πηλόν PV | ἔχει PV corr. R | 51 ἐὰν καὶ ἐξ. Ca | τεῖχους P | 1 hiatum adgnovit Ha | καὶ αὐτῶν] 'f. κατ᾽ αὐτῶν' Ha | 2 f. κλίμακας ἐκ τοῦ πλαγίου | 3 ῥᾴδιόν P ῥαδίον V | 4 τῇ νάφθᾳ Br | ἔχῃ PV corr. Br | 5 ἐμβάλλοντας PV corr. Br | 6 ὡσαῦτως PV | χελῶνας PV | 7 f. τοῦ ⟨προ⟩τειχίσματος | 7. 8 ἐμπιπρᾶναι PV | 8 ὡς] εἰς Th mg; f. ὡς ⟨εἰς⟩; ὡσαύτως καὶ Bue | 10 περιειλιστέον PV περιειλητέον R; lacunam indicavit Ro; περιειλι⟨γμένους. χρη⟩στέον δέ Br | δὲ ἔστι V | 10. 11 'f. παλιμπροδοσίαις' H. Schoene

94 δοσίαις καὶ ταῖς γινομέναις νυκτὸς καὶ ἡμέρας ἐπι-
12 θέσεσιν ὅταν λάβῃς καιρόν· οὕτως γὰρ ἂν τάχιστα
13 κατατυχὼν λύσαις πολιορκίαν. ἐν δὲ [ταῖς ἐμπρή-
14 σεσι τῶν μηχανημάτων καὶ τῶν χελωνῶν] ταῖς
15 συμβαινούσαις ἐπιθέσεσι δεῖ τοὺς ὁπλίτας καὶ
16 τοὺς ψιλούς, ὅσοι ἂν μὴ ἐπὶ τῶν τειχῶν ὦσι
17 χρήσιμοι, πάντας διεσκευασμένους ἐν τῷ
18 προτειχίσματι ἑτοίμους εἶναι, ἵνα ταχὺ καὶ εὐ-
19 τάκτως ποιῶσι τὸ προστασσόμενον τῷ στρατη-
20 γῷ.

Τοὺς δὲ γινομένους τραυματίας τῶν ξένων
21 ἐπιμελῶς θεραπεύειν πάντα τὰ δέοντα παρα-
22 σκευάζοντας, καὶ ὅσοι ἂν μὴ ἔχωσιν αὐτῶν
23 τοὺς θεραπεύοντας, εἰς τὰς τῶν πολιτῶν οἰκίας
24 διδόναι· καὶ ὅσοι ἂν ἄνδρες ἀγαθοὶ γίνωνται,
25 ἀναβιβάζειν χώραν καὶ ἡγεμονίαν διδόναι καὶ στε-
26 φανοῦν· καὶ ἐάν τινες τελευτήσωσιν, θάπτειν ὡς
27 λαμπρότατα δημοσίᾳ, καὶ ἐὰν καταλείπωσιν
28 ἑαυτῶν τέκνα ἢ γυναῖκας, πολυωρεῖν μὴ παρέρ-
29 γως· μάλιστα γὰρ οὕτως εὔνοοι γινόμενοι τοῖς
30 στρατηγοῖς καὶ τοῖς πολίταις ἄριστα ἂν κιν-
31 δυνεύσειαν.

32 Ἐὰν δὲ ὁ τόπος καθ' ὃν προ⟨σ⟩βάλλουσι, κα-
33 τάντης ᾖ, ἀφετέον ἐστὶ τοὺς τροχοὺς δρέπανα
34 ἔχοντας ἢ λίθους μεγάλους· οὕτω γὰρ ἂν τά-
35 χιστα καὶ πλείστους διαφθείραις τῶν ἐναντίων.
36 Ἐὰν δὲ ἐκ θαλάσσης ἡ προσαγωγὴ συν-
37 τελῆται, κατὰ τὰς ἀποβάσεις θύρας τε κρυ-

---

13 [ταῖς—χελ.] videtur ad vs. 6 adscriptum fuisse in mg. ἐμπρήσεις τῶν μηχανημάτων καὶ τῶν χελωνῶν idque huc irrepsisse | 17 πάντες PV corr. Ha Graux fort. de Carth. p. 202 | διεσκεδασμένους P (διασκ.) V corr. Bue ('velut Xen. Hell. IV p. 2,19') | 18 ἕτοιμοι P ἕτοιμον V corr. R | 19 τῶ P | 20 τοὺς δὲ — 31 κινδυνεύσειαν f. inserenda p. 96,15 ante verba Δεῖ δὲ κτέ. | 20 ξενῶν P | 22 ὅσους PV corr. Ha | 24 γίνονται PV 'f. γένωνται' Die | 25 'recte ἀναβ. χ.: loco promovere' Bue | 25.26 στέφανον PV corr. Br | 27 δημοσία PV | 'f. καταλίπωσιν' Br | 29 τοῖς] τὴν per comp. scr. P | 30 στρατηγικοῖς PV corr. R | 32 προβάλλουσι PV corr. Ha | 35 πλείους PV | ἐναντίων] hic apte inserueris quae infra sequuntur p. 95, 32 ἐὰν δὲ μακρᾶς—96, 14 παθεῖν | 36 ἐκ] καὶ PV corr. Ha et Graux fort. de Carth. p. 191 n. 1 | 36. 37 συντελεῖται PV corr. R | 37 θύρας cf. p. 100,7

94 πτὰς ἥλους ἐχούσας δεῖ τιθέναι καὶ τριβό-
39 λους καὶ σιδηροῦς καὶ πυξίνους διασπείρειν καὶ
40 ἀποχαρακοῦν τοὺς εὐεπιβάτους τόπους. τὰ
41 δὲ στόματα τῶν λιμένων φράττειν [μ]ή τοῖς
42 κλείθροις, ἐν οἷς ⟨......⟩ εἰσὶ περιτρέχουσαι καὶ στρογ-
43 γύλαι, σιδηροῦς δὲ κόλπους ἔχουσαι· ἢ ἐσχά-
44 ρας ἐπὶ τοῦ τόπου τίθεσθαι καὶ λίθους ὡσεὶ
45 χιαστοὺς καὶ μεγίστους ἐπιβάλλειν, ἐν οἷς τοὺς
46 καθαρμόττοντας σταυροὺς λοξοὺς σεσιδη-
47 ρωμένους, ὑπαλλάττοντας ἀλλήλοις καὶ συν-
48 δεδεμένους, οὐχ ὑπερέχοντας τῆς θαλάσσης
49 ἀλλ' ὅσον παλαιστὴν ἀπολείποντας· ἢ πλοῖα
50 ἐναντία πολεμιστήρια ὅπλα ἔχοντα, εἰ δὲ
51 μή, λέμβοι καὶ ὧν ἂν ἔχῃς τὰ λεπτὰ προσ-
95 ορμισθέντα πρὸς ἄλληλα συνανασπᾶται καὶ συμ-
2 βολαὶ κατασκευάζονται αὐτοῖς δοκῶν παχέων τεσ-
3 σάρων πρὸ τῆς πρῴρας τεθεισῶν, καὶ τούτων συγγομ-
4 φωθεισῶν καὶ συνδεθεισῶν εἰς τὸ αὐτό, καὶ ἐπ'
5 ἄκρῳ ἐμβόλου περὶ αὐτὰ καθαρμοσθέντος. πα-
6 ρὰ πάντα τὰ εἰρημένα κλεῖθρα καὶ ζεύγματα
7 καὶ πλοῖα ἀκάτια παρορμείτω πίσσαν καὶ θεῖον
8 καὶ τριβόλους ἔχοντα στιππύῳ περιειλιγμένους· καὶ
9 ἐν ταῖς ὁλκάσι ταῦτα καὶ ἐνέστω. καὶ ἐπὶ τοῦ στόματος
10 [καὶ] ἑφεκατέρωθεν ἐφεστάτω πετροβόλος εἰκοσα-
11 μναῖος, ἵνα ὅταν βιάζωνται τῶν μικρῶν τινες
12 εἰς τὸν λιμένα, ἐμπρησθῶσιν ἢ περὶ τοὺς ἐμβό-
13 λους περιπαγεῖσαι διαφθαρῶσι⟨ν ἢ⟩ καταπον-
14 τισθῶσιν τυπτόμεναι τοῖς τε μολιβοῖς ἀμφορεῦσι

---

39 'f. [καὶ] σιδ.' Br | σιδηροὺς PV | 41 ἢ τοῖς] μὴ τοῖς PV τμητοῖς ('sectilibus') Bue; σιδηροῖς Mi 'f. μὲν τοῖς' Ha μὴ del. Th mg | 42 περιτρέχουσι PV | 43 σιδηροὺς V | ἐχούσας PV | 45 χιστοὺς PV corr. R | 46 καθορμόττοντας V | σ̅τ̅ρ̅ο̅ῦ̅ς̅ P στροὺς V | 47 ὑπαλλάττοντες PV (V om. acc.) | 50 'ἐναντία corruptum' Br | ἔχοντας PV | 51 λέμβους V λέμμους P | τὰ λεπτὰ] 'f. πλεῖστα' Die | 1 προσάλληλα PV | 2.3 παχ. τεσσ.] παχέων τε σταυρῶν Bue; an παχειῶν τετραγώνων vel τετραπέδων coll. Diod. XX 85,2. 91,2? πήχεων Ro | 3 συγγοφθεισῶν PV | 4 συνδεθέντων PV | 5 ἄκρω V ἀκρω P | καθορμοσθέντος V | παρα PV | 8 στυππύωι V | 9 ὁλκάσι PV | 11 πετρόβολος PV | μικρῶν] μακρῶν Ro | 13 ⟨ἢ⟩] ⟨καὶ⟩ R | 14 τυπτόμενοι PV | μολίβοις PV corr. Lob. ad Phryn. p. 148 | μολ. ἀμφ.] δελφῖνες μολίβδινοι schol. Ar. Eq. 762 et Thuc. VII 41,1; Eustath. ad Φ 22; σηκώματα μολ. Polyb. VIII 7 XXII 10 cf. Ro et Mi p. 393

95 καὶ τοῖς πετροβόλοις. ἐὰν δὲ μέγα τι τὸ διά-
16 στημα ᾖ, καὶ πύργος ἐν μέσῳ σταθήτω, ἐν ᾧ
17 πετροβόλος ἔστω τετράμνους· πρὸς δὲ τὰ
18 προσαγόμενα ⟨........⟩ καὶ τὰς προσπλεούσας ναῦς
19 μάλιστα δεῖ χρᾶσθαι τοῖς πετροβόλοις καὶ τοῖς
20 πυροφόροις καὶ τοῖς δορυβόλοις. ἐὰν δὲ ἀγχι-
21 βαθεῖς τόποι τῶν τειχῶν ὦσι, προσχώματα κατα-
22 σκευαστέα ἐστίν, ἵνα μήτε προσαγωγὴν ἔχῃ
23 ταύτῃ μήτε τῶν μεγάλων σκαφίων ἔμβολος εἰς
24 τὸ τεῖχος ἐμβάλῃ ἢ ἐπιβάθρας ἐπιθέντες κα-
25 ταλάβωνταί τινα πύργον. δεῖ δὲ καὶ νυκτὸς ὅταν
26 ᾖ χειμών, τὰς ἀγκύρας τῶν ἐφορμουσῶν νηῶν
27 κελεύειν τοὺς κολυμβῶντας ὑποτέμνειν καὶ τὰ ἐ-
28 δάφη αὐτῶν ἐκτρυπᾶν· μάλιστα δὲ οὕτω κω-
29 λύσομεν τοὺς ἐναντίους ἐφαρμόζειν. τὰ δ' ἄλλα
30 πάντα χρήσιμα ἐν ταῖς τοιαύταις προσβολαῖς
31 ὅσα καὶ πρὸς τὰς ἐκ τῆς ἠπείρου γινομένας
32 προσαγωγάς.

Ἐὰν δὲ μακρᾶς οὔσης τῆς πόλεως ἀμ-
33 φίβολον ᾖ τι τοῦ τείχους, ⟨δι⟩οικοδομητέον ἐστὶ τοίχῳ
34 ἢ δέρρει ἢ αὐλαίαις διαφρακτέον, ἵνα μή τι-
35 τρώσκωνται ἐκ τοῦ ὄπισθεν οἱ ἐπὶ τοῦ τείχους
36 ὄντες.

Ἐπειδὰν δὲ τῷ προσαγομένῳ μηχανήματι
37 ὁδοποιηθῇ, πέτρους ὡς μεγίστους προρρίπτειν
38 ἐκ τῶν πετροβόλων μὴ στρογγύλους, ἵνα μὴ
39 δύνωνται τὴν ἑλέπολιν προσάγειν. χρήσιμα
40 δ' ἐστὶ καὶ τὰ προκαταρτιζόμενα παχέα
41 ἀμφίβληστρα ἐκ τοῦ λίνου πρὸς τοὺς κατὰ

---

15 τι] ᾖ PV corr. Bue | 16 ᾖ] ἦν P ἣν V | 17 πετρόβολος PV | τετράμνους] cf. ad p. 93,2 'pétrobole de quarante mines' Ro; sane expectatur maius pondus cf. p. 95,50 ss. | ⟨μηχανήματα⟩ Ro | 20. 21 ἀγχιβαθεὶς P | 21 προσχώματι PV corr. Spanh. ad Iulian. p. 191; πρόσχωμά τι κατασκευαστέον Mi | 23 ταύτῃ· P | 24 ἐπιθέντας PV corr. Ha | καταλάβονται PV corr. R | 26 ἐφουρμουσῶν V | 27. 28 ἐδάφη PV | 28. 29 κολύσομεν PV | 29 ἐφαρμόζειν] ἐφορμίζειν Mi; an ἐφορμεῖν vel ἐφορμίζεσθαι? | 32 ἐὰν δὲ κτέ.] cf. ad p. 94, 35 | μακρὰν PVE corr. R et Gra ad p. 86,13 | 33 ᾖ τι] εἴ τι PV corr. Ha Gra l. c. | ἐστὶ del. Gra | 35 ὄπιθεν PV | 37 πρὸσρίπτειν P (προσρ.) V corr. Bue | 40 τὰ προκ. π. ἀ. — 44 γίνονται] cf. Anon. Pol. p. 261,4—7 We

95 τὰς κλίμακας ⟨καὶ⟩ διὰ τῶν διαβαθρῶν ἐπὶ τὰ
43 τείχη ἀναβαίνοντας· ὅταν γὰρ ἐπιρριφῇ αὐτοῖς,
44 ῥᾳδίως συνθέοντος ὑποχείριοι γίνονται· καὶ τὰ
45 ἀγκιστρωτὰ ἐμβόλια· ἀπὸ γὰρ τῶν καλωδίων
46 οὗ ἐξακοντιζόμενα καὶ ἄνωθεν ἐμβαλλόμενα
47 ὅταν ἐμπαγῇ εἰς τὰ μαλάγματα καὶ τὰς
48 ῥυτὰς σανίδας μασητὰ καλώδια, πολλὰ ἀπο-
49 σπᾶν αὐτῶν δύναται. πάντων δὲ μάλιστα δεῖ
50 σπουδάζειν περὶ τοὺς τριακονταμναίους πετρο-
51 βόλους καὶ τοὺς χρωμένους τοῖς ὀργάνοις τού-
96 τοις καὶ τὰς βελοστάσεις αὐτῶν, ἵνα ὦσιν ὡς
2 βέλτιστα πεποιημέναι· τῶν γὰρ λιθοβόλων οὕ-
3 τως εὖ πεποιημένων καὶ τῶν βελοστάσεων
4 ἐπὶ τῶν ἐπικαίρων τόπων κατὰ τρόπον ἐπε-
5 σκευασμένων καὶ τῶν χρησομένων αὐτοῖς ἐν-
6 τέχνων ὄντων οὔτ' ἂν [γερροχελώνη] μηχάνη-
7 μα οὔτ' αὖ στοὰ οὔτε χελώνη ῥᾳδίως
8 προσαχθείη· ἐὰν δὲ πλησιάσῃ τῷ τέλει,
9 οὐκ ἂν ὑποκινήσειεν οὐθὲν ὑπὸ τούτων τυ-
10 πτόμενα· συμμεμέτρηται δὲ ταῦτα καὶ σφο-
11 δρότατα ταῦτ' ἐστὶ πρὸς τὰς πληγὰς τὰ βέ-
12 λη, ὥστε τούτων ἐνεργούντων μηθὲν ἂν δει-
13 νὸν κατὰ τὰς γινομένας προσβολὰς τὴν πόλιν
14 παθεῖν.
15 Δεῖ δὲ καὶ ἰατροὺς χαριεστάτους ἔνδον εἶναι
16 ἐμπείρους τραυμάτων καὶ βελῶν ἐξαιρέτως,
17 ἔχοντας φάρμακα καὶ ὄργανα τὰ προσή-
18 κοντα, καὶ τὴν πόλιν χορηγεῖν κηρωτὴν καὶ
19 μέλι καὶ ἐπιδέσμους καὶ σπληνία, ἵνα μὴ

---

42 ⟨καὶ⟩ add. Br coll. Anon. Pol. p. 261,3 W | διαβάθρων PV | 44 ῥαδίως V | συνδέοντος Wess. ad Diod. XVIII 43; ‘f. συνδεθέντες vel συρέντες’ Br | 46 οὗ] εὖ Br | 48 μασητὰ] supra η adscr. ς; in mg. ϊ V PV; [μας] ἢ τὰ Bue; [μας] ⟨....⟩ τὰ (e. g. ⟨καὶ ἀνιμηθῇ⟩) Br; ⟨καὶ⟩ ἱμήσῃ τὰ Die | 51 χρωμένους] χρησομένους Gra ad p. 82,8 | 1 ἵνα — πεποιημέναι del. Gra l. c. | 2 πεποιημένοι PVE et in mg. αἱ PV | 2. 3 οὕτως] τούτων Gra | 3 βελοστασεῶν P accentu supra α deleto | 4 ἐπικέρων PV corr. Th e R | 6 γεροχελώνη P del. Gra l. c. | 7 αὖ] ἂν PV | οὔτε] pro postremis duabus litteris in V compendium parum perspicuum | ῥαδίως PV | 8 πλησιάση PV | τῶ P | τέλει] τείχει R | 15 cf. ad p. 94,20 | 16 ‘f. ἐξαιρέσεως’ Ha Mi | 17 προσέλκοντα PV corr. Ha Mi | 19 σπληνία] ς supra η et in mg. PV

96 παρολλύωνται οἱ στρατιῶται τραυματίαι γενό-
21 μενοι, ἀλλὰ ταχὺ ὑγιαζόμενοι χρήσιμοι
22 γίνωνται ἐν ταῖς ὕστερον γινομέναις συμβο-
23 λαῖς προθύμως κινδυνεύοντες διὰ τὰς γε-
24 νομένας θεραπείας αὐτοῖς καὶ χορηγίας· πολλά-
25 κις δὲ καὶ ταῦτα τῆς πόλεως ἐπὶ σωτηρίᾳ
26 γίνεται.

IV

27 Πρὸς μὲν οὖν πολιορκίαν οὕτω δεῖ παρα-
28 σκευάζεσθαι.

Τὸν μέλλοντα λήψεσθαι τὰς πόλεις
29 ἐὰν προέληται, δεῖ μάλιστα μὲν ἑορτῆς οὔσης
30 ἣν ἄγουσιν ἔξω τῶν πυλῶν, εἰ δὲ μή, ἀμητοῦ ⟨ἢ⟩
31 τρυγητοῦ ὄντος τὴν ἐπίθεσιν ποιεῖσθαι· πλείστους
32 γὰρ ἔξω τῆς πόλεως ἀπολαβὼν ἀνθρώπους
33 ῥᾳδιέστατ' ἄ⟨ν⟩ λάβοις τὸ ἄστυ· εἰ δὲ μή, νυκτός, χει-
34 μῶνος ὄντος ἢ μεθυόντων τῶν πολεμίων ἔν
35 τινι δημοτελεῖ ἑορτῇ κλίμακας ἑτοίμας ἔχον-
36 τας λάθρα πλησιάσαντας τῷ τείχει τῶν
37 πύργων τινὰς καταλαβέσθαι. ἐὰν δὲ ἀποτύχῃς
38 τούτου, ἐὰν μὲν ἐπιθαλάσσιος ᾖ ἡ πόλις, [ἢ]
39 περιχαρακῶσαί τε ἐκ θαλάσσης εἰς θά-
40 λασσαν, καὶ ἐὰν ἔχῃς σκάφας μακράς, ἐπὶ
41 τοῦ λιμένος ἐφορμεῖν, ἵνα εἰσπλέῃ μηθέν.
42 ἐὰν δὲ μηδ' οὕτως ἡ πόλις ᾖ ἐκτισμένη,
43 βαλόμενος τὸ στρατόπεδον ἔξω βέλους ἐπὶ
44 τοὺς ἀσφαλεστάτους τόπους, περιχαρακώσας κύ-

---

20 παρολλύονται PV παρ⟨απ⟩ολλύωνται Br cf. 101,45 | 20.21 γινόμενοι PV | 22 γίνονται PV | 23.24 γινομένας PV | 25 in mg. ὡραῖον per comp. scr. PV | σωτηρία PV | 28 τὸν P | τὸν μέλλοντα κτέ.] Anon. Pol. p. 212,11—16 W | 29 προέληται] προσέλθηται R f. προσέλθῃ | 30 ἀμητοῦ ⟨ἢ⟩] ἅμα τοῦ PV corr. Bue; cf. Th lat et Mi p. 434 | 33 ῥα-διέστατα PV | 35 ἑτοίμας] in mg. sequentis versus ους PV | 35.36 ἐχόντας P f. ἔχοντα et πλησιάσαντα | 37 ἀποτύχης PV | 38 ᾖ] ἣν PV corr. Ha | 39 περιχωρῆσαι PV | τε] ὥστε PV corr. Br, qui cf. App. Pun. 119 | 40 ἔχῃς σκάφας P(σκαφας)V | 41 εἰσπλεῖ VP corr. Ha | 42 μηδ'] μὴδ' PV f. μὴ | ᾖ] ἡ PV corr. R | 43 βαλλό-μενος PV | 44.45 κύκλω PV

96 κλῳ ὡς ἂν ᾖ δυνατόν, εἶτα φύλακας κατα-
46 στήσας ποιοῦ τὴν πολιορκίαν, πρῶτον μὲν
47 κήρυγμα ποιησάμενος μηθένα φθείρειν ἢ προ-
48 νομεύειν. δεύτερον δὲ λογισάμενος εἰς τάγματα
49 ἢ ἐπαρχίας διαδώσεις τὰ γεώργια· καὶ οἱ στρα-
50 τιῶται πάντα τὰ δέοντα ἕξουσιν καὶ οἱ πολῖ-
51 ται θᾶττον ὃ βουλόμεθα ποιήσουσιν ἀφθάρτων
97 τῶν κτημάτων ὄντων. μετὰ δὲ ταῦτα περὶ τὴν
2 πόλιν ὅσα ἐστὶν ἢ ἀσφάλειαν ⟨τοῖς⟩ ἔνδον ἔχον-
3 τα ἢ ὠφέλειαν τὰ μὲν κατασκάψαντας
4 τὰ δὲ ἐκκόψαντας καὶ τὰ ὕδατα τὰ ἔσω
5 ῥέοντα ἀποστρέψαντα — οὕτω γὰρ ἂν μάλιστα
6 δηλωθήσονται καὶ σὺ τοῖς ὀργάνοις ὡς βού-
7 λει χρήσῃ —, εἶτ' ἐὰν ᾖ ποταμὸς πλησίον, ἐπὶ
8 τὸ τεῖχος ⟨ε⟩ἶνα⟨ι⟩, ἐὰν δύνῃ πεσόντος μεταπυργίου
9 τινὸς ἢ πύργου κατασχεῖν τὴν πόλιν. ἐὰν δὲ μὴ
10 τοῦτο δύνῃ, τότε τὰ βέλη ἐπιστήσας πάντα καὶ
11 ἐπικηρύξας ⟨ὅτι⟩ τῷ πρώτῳ ἀναβάντι ἐπὶ τὸ τεῖ-
12 χος καὶ δευτέρῳ καὶ τρίτῳ δώσεις τὰ καλῶς ἔ-
13 χοντα χρήματα, κατὰ τοὺς ἀσθενεστάτους τόπους
14 ἀπὸ κλιμάκων καὶ προστιθεμένων δοκίδων τὴν
15 πρώτην ποίησαι προσβολήν, ἵνα καταφόβων
16 ὄντων ἔτι τῶν ὄντων καὶ ἀπείρων πολιορκίας,
17 κατὰ κράτος λάβῃς τὴν πόλιν ἢ διαγνῷς τὸ
18 πλῆθος τῶν μαχομένων ἢ τὰς ψυχὰς αὐτῶν
19 πῶς τε διάκεινται πρὸς τοὺς κινδύνους. ταῦ-
20 τα δὲ ποιήσας ἂν μή σοι προσέχωσιν, ἔπαλ-
21 ξιν ἐπὶ τοῦ χάρακος θέμενος καὶ τάφρον περὶ
22 τὸ στρατόπεδον περιβαλόμενος διπλῆν τά τε
23 μηχανήματα εἰς τὰ ὑπουρουχέα καὶ πε-

45 εἴτε PV corr. R | 47 μηθένα — 48 λογισάμενος in P bis scriptum; corr. m[1] | 1 μετὰ δὲ — 9 πόλιν] haec una periodo comprehendi eique insertam esse parenthesin v. 5—7 docuit Va | 3 κατασκάψαντα Br | 4 δὲ (per comp.) PV | ἐκκόψαντα Br | 5 ἂν del. Bue | 6 δειλωθήσονται Ha; δηληθήσονται Mi | ὡς ⟨ἂν⟩ βούλῃ Bue | 6.7 βούλῃ V | 7 εἶτ'] εἴτε PV | 8 εἶναι] ἵνα PV corr. Br | δύνῃ P | 12 δώσειν (omisso ⟨ὅτι⟩ v. 11) Br coll. v. 41 | 13 χρήσματα P | 14 προτιθεμένων PV corr. Ha | 15 ποιῆσαι PV | 16 τῶν ὄντων] τῶν ὄχλων Bue; τῶν ἐναντίων sive ἐνόντων Ha | 17 διαγνῶς PV | 20 f. προσχωρῶσιν | 22 περιβαλλόμενος PV corr. Ha | 23 εἰς τὰ] latere videtur imperativus; 'ἵστη vel potius ἵστα' coll. Kuehner. gramm. gr. I p. 524 n. 5 Bue; εἰς τὰ ⟨....⟩ Ro | ὑπουρουχία V ὑπότροχα Ro ὑπότροχά τε Bue

 ρίακτα κατασκευάζων καὶ φοινικίνας σανίδας
25 ἔχοντα, ἵνα μὴ συντρίβωνται, καὶ τὰς στοὰς οἰ-
26 κοδόμει καὶ τοὺς ἐπιτηδείους τόπους ὑπόρυτ-
27 τε, ἐὰν μὴ ὕπομβρος ᾖ ὁ τόπος ἢ χε-
28 λώνας κατασκευασάμενος χωστρίδας τὰς τά-
29 φρους χώννυε τὴν χώραν μὴ φθείρων· ὕστερον
30 γὰρ ἐὰν συμφέρῃ τοῦτο ἔσται σοι ποιῆσαι. ἐὰν δὲ
31 μὴ δύνῃ χῶσαι διὰ τὸ βαθείας καὶ εὐρείας
32 εἶναι, χελώνην δεῖ προ[σ]θέμενον χωστρίδα σχε-
33 δίαν ζευγνύοντα προσαγαγεῖν οὗ βούλεται
34 τοὺς στρατιώτας. ποιοῦ δὲ καὶ κηρύγματα τῶν
35 πολεμίων ἀκουόντων τοιαῦτα, ὅπως εἴς τε σι-
36 δήρων ὑπορυκτικῶν καὶ μηχανημάτων στάσεις
37 καὶ τὰ τούτοις ἀκόλουθα, καὶ ἐὰν ἀποκτείνας
38 τις ἢ τῶν μηχανοποιῶν τινὰς ἢ τῶν ὄντων ἐπὶ τῶν
39 βελῶν ἀξιολόγων ἢ τῶν ἐνδόξων ἐναντιου-
40 μένων τοῖς πράγμασι παραγίνηται πρὸς αὐ-
41 τούς, τιμήσειν καὶ χρήματα δώσειν· καὶ τὸν μὲν
42 δοῦλον ἐλεύθερον ἂν ἀφεῖναι, τὸν δὲ στρατιώτην
43 ἀναβιβάσειν, τὸν δὲ ὁπλίτην μέτοικον στεφανώ-
44 σειν, καὶ δώσειν δωρεὰς τὰς κατ' ἀξίαν τοῦ
45 πραχθέντος ἔργου· τὰ γὰρ τοιαῦτα κηρύγμα-
46 τα μάλιστά πως εἴωθε τῶν ἐναντίων τὰς
47 διανοίας ⟨............⟩ καὶ τοὺς μετοίκους καὶ τοὺς οἰ-
48 κέτας ποιεῖν μηκέθ' ὁπλίζειν καὶ διδόναι τὰ
49 καλῶς ἔχοντα ἐπιτήδεια· τούτων δὲ γι-
50 νομένων ἐλάττους οἱ κινδυνεύοντες ἔσονται
51 καὶ πλείονα σῖτα ἀναλώσουσιν καὶ τάχα

---

24 φοινίκινας P φοινίκας V | 25 ἔχοντας PV corr. Ro | f. συντρίβηται | 26 οἰκοδομεῖν PV corr. Br | καὶ ⟨κατὰ⟩ τοὺς Br | 26. 27 ὑπορύττειν ἐὰν μὲν PV corr. Br | 27 ᾖ] ἦν PV corr. Ha | 28 χελ. χωστρίδας] cf. v. 32; p. 99,41; 100,45; huc spectare videtur Athen. mech. p. 15,13 We | 30 συμφέρη P | ἔστω P ἔστωι V corr. Ha | ἐὰν δὲ μὴ κτέ.] cf. Anon. Pol. p. 259,2. 260,5 ss. W | 32 προσθέμενον PV corr. Br coll. An. p. 260,6 | 33 'f. οὗ ⟨ἂν⟩ βούλῃ' Br | 35 ὅπως ⟨θέσ⟩εις τε εἰδῇς τῶν (vel ⟨πό⟩ρων) ὑπορ. Bue | 39 f. ἐνδόξων ⟨τις⟩ | 40 παραγίνηται, ⟨λαμ⟩πρῶς vel πρὸς ⟨σέ, λαμπρῶς⟩ αὐτοὺς τ. Bue | 42 ἂν ἀφεῖναι] ἀναφῆναι PV | 43 'τὸν δὲ μέτοικον πολίτην ⟨ποιήσειν καὶ⟩ στεφ.' Br coll. App. Mithr. 48; 'f. ἂν ἀφεῖναι, τὸν δὲ μέτοικον πολίτην ἂν ἀποφῆναι, τὸν δὲ στρ. ἀναβ. ⟨καὶ⟩ στεφ. καί' Bue | 44 καταξίαν PV | 47 f. ⟨ταράττειν⟩: 'f. ⟨δειλὰς⟩ cf. p. 97,6; ποιεῖν ex proximis adsumitur' Bue | 48 μὴκέθ' PV | τὰ] τοῦ PV | 51 σίτα PV

98 στάσις τις ἔσται ἐν τῇ πόλει. τοὺς δ' ἀ-
2 χρείους ὄντας ἐὰν παραγίνωνται, μὴ προσδέ-
3 χου, ἵνα τροφὴ τῶν πολιορχουμένων θᾶτ-
4 τον ἀναλίσχηται.

Ταῦτα δὲ πάντα ὅταν
5 συντελέσῃς, ὁδοποιήσας καὶ φαλαγγώσας τὰς
6 προσαγωγὰς τοῖς μηχανήμασι τὴν ταχί-
7 στην αὐτὰ πειρῶ προσάγειν φράξας ταῖς
8 φοινιχίναις σανίσι καὶ σιδηραῖς λεπίσι καὶ
9 μαλάγμασι καὶ χολέδρας ἄνωθεν κατα-
10 σκευάσας, καὶ τοὺς πετροβόλους καὶ τοὺς ὀξυ-
11 βελεῖς ἐπιστήσας, καὶ πρὸς τοὺς ἐκείνων λιθο-
12 βόλους δύο δεχαμναίους πρὸς ἕχαστον καὶ πεν-
13 τασπίθαμον ἀντιστήσας. μὴ φανερὸς δὲ γίνου
14 χαθ' ὃ ποιήσῃ τὴν προσαγωγήν, ἀλλὰ κατ'
15 ἄλλους μὲν προδείχνυε τόπους, κατ' ἄλλους
16 δὲ πρόσαγε τὰ μηχανήματα, ἵνα διαμαρτά-
17 νωσι ταῖς παρασχευαῖς οἱ πολιορχούμενοι. πρὸ
18 δὲ τῶν χινδυνευόντων στρατιωτῶν προ[σ]φερέ-
19 σθωσαν γεῤῥοχελῶναι ὡς πλεῖσται, ἵν' εὐχερῶς
20 ἐντεῦθεν ἐκπηδῶντες κινδυνεύσωσιν. αὐτὸς δὲ
21 μάλιστα ἐν τοῖς ἀσφαλεστάτοις ἐρύμασιν ὢν
22 καὶ μάλιστα εὐλαβοῦ, παραβοηθεῖν προστάσσων
23 ἐάν που δέον. δεῖ καὶ συνθεωρεῖν ἔτι τί
24 ποιητέον ἐστίν.

Ὡσαύτως δὲ καὶ ἐκ θαλάσσης
25 ἐὰν ⟨......⟩ προσαγωγήν, ἐπὶ δὲ τῶν ὁλκάδων καὶ
26 τῶν λέμβων στήσας μηχανήματα πρόσαγε·
27 καὶ διασκάψας ταῖς μεγίσταις σκαφίσι τὸ κλεῖ-
28 θρον τοῦ λιμένος, ἐὰν ἔχῃς καταφράκτους ναῦς,
29 ποίησαι τὴν προσβολὴν τοῖς ἐμπειροτάτοις
30 οὖσι καὶ δυναμένοις κινδυνεύειν καὶ μάλιστα

---

1 τῆ V | 3. 4 θᾶττον] ἔλαττον PV corr. Bue; cf. Ones. XLII 9,23 | 5 συντελέσης PV | 8 φοινιχίνες P | 9 χολέδραις PV corr. Ro | 12 δυοδεχαμναίους V δοδεχαμναίους P | 13 μὴ φ. κτέ.] Anon. Pol. p. 204, 10ss. W. | φανερῶς PV corr. R | 14 καθὸ PV | 15 προδειχνὺς PV corr. Br | 18 προσφ. PV | 21 ὧν PV | 23 δέος PV | 'f. ἐὰν δέῃ σπουδῇ καὶ συνθεωρεῖν cito succurrere ac porro quid faciendum sit circumspicere' Bue | 24 ὡσάύτως PV | εχ P | 25 'f. ⟨ποιῇ τὴν⟩' Br | ἐπι PV | f. [δὲ] | ὁλκάδων PV | 27 σκάφεσι V | 28 ἔχῃς PV | 29 ποιήσας PV | 30 δυναμένους PV

98 κατὰ θάλασσαν. τὴν δὲ διάστασιν τοῦ φράγματος
32 καὶ τῶν κλείθρων ἢ ταῖς ἐμβολαῖς τῶν νηῶν
33 ποιητέον ἐστὶν ἢ ταῖς ἐνάψεσι τῶν ἀγκυρῶν
34 ⟨ὀ⟩νεύοντα ἐκ τῶν προσαχθεισῶν ὁλκάδων. ὅταν
35 δὲ προσαχθῇ τὰ μηχανήματα παρακαλέσας
36 τοὺς στρατιώτας καὶ τὴν αὐτὴν ἐπικήρυξιν τῇ
37 προτέρᾳ συντελέσας ποιοῦ τὴν προσβολὴν
38 πάντοθεν τῆς πόλεως καὶ κατὰ γῆν καὶ κατὰ
39 θάλασσαν, ἐὰν ἔφαλον ᾖ τι τοῦ τείχους, ἵνα
40 φόβον τε ὡς πλεῖστον παρασκευάσῃς καὶ δια-
41 σπάσῃς εἰς πολλὰ τοὺς ἔνδοθεν κινδυνεύον-
42 τας· ἐνεργῆ δέ σοι τὰ βέλη πάντα ἔστω καὶ
43 οἱ κριοὶ καὶ τὰ τρύπανα καὶ οἱ κόρακες καὶ
44 αἱ ἐπιβάθραι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν εἰς
45 τοὺς προσήκοντας τόπους· καὶ ποιοῦ τὴν προσ-
46 βολὴν ἐκ διαδοχῆς τῶν στρατιωτῶν, μηθὲν
47 παραλιπών, ἵνα ἀκμάζοντες ἀεὶ κινδυνεύσωσιν
48 ἰσχυρὰν ἀεὶ καὶ συνεχῆ γίνεσθαι· καὶ θόρυβον πο-
49 λὺν ποιεῖν καὶ σάλπιγγας ἀνίεσθαι κατὰ τὰ
50 ἰσχυρότατα τῆς πόλεως, ἵνα ὑπολαμβάνοντες
51 ἁλίσκεσθαι ταύτῃ τὸ τεῖχος ἀπὸ τῶν μεταπυργίων
99 μετὰ τῶν ἄλλων φύγωσιν ⟨....⟩ ἐκεῖ περισπάσας ὡς
2 πλείστους τῶν ἔνδοθεν κατὰ ἅλωσιν χειρώσῃ τὴν
3 πόλιν. αὐτὸς δὲ ὅπως μὴ διακινδυνεύσῃς· οὐ-
4 θὲν γὰρ ἂν ἀπεργάσαιο τηλικοῦτον τῷ ἰδίῳ σώ-
5 ματι, ὅσον ἂν βλάψαις παθών ⟨τι⟩ πάντα τὰ πρά-
6 γματα.

⟨.....⟩ ποιητέον δ' ἐστὶν καὶ ἐμβολὰς εἰς τὰ με-
7 ταπύργια τῷ ἀχρειοτάτῳ τῶν μεγάλων σκα-
8 φῶν, ἐὰν ᾖ τόπος ἀγχιβαθὴς καὶ προσβλητὰς

31 διάστασιν] f. διάσπασιν cf. Arr. An. II 24,1 | 32 'νεῶν ut p. 100,76; 104,17' Die | 33 ποιτέον V | 34 νεύοντα PV corr. Br | ὁλκ. PV | 39 ἤ τί PV corr. Ha | 40. 41 διασπάσῃς PV | 44 καὶ κατὰ θ.] καὶ τὰ θ. V | 45 καὶ π. τ. πρ. — 99,1 φύγωσιν] cf. Anon. Pol. p. 204,13—18 W | 48 f. ⟨ὥστε⟩ ἰσχυρὰν | καὶ in ras. V | 49 ἐνίεσθαι Wess. ad Diod. XVII, 106 p. 243; sed ἀν. etiam Anon. Pol. l. c.; 'cf. Onesandr. 42,17' Br | 49. 50 τὰς ἰσχυρωτάτας PV corr. Wess. l. c. | 51 ταύτη PV | 1 'f. μετὰ del.' Bue | 'f. ⟨σὺ δ'⟩ ἐκεῖ' Bue | f. ἐκεῖσε | 3 διακινδυνεύσης PV | 4 οὐθὲν γὰρ κτέ.] 'cf. Onesandr. 33,1' Ha | τῶ P | 6 ποιοιτεον V | ἔμβολα PV | 8 προσβλητὰς] προσβλῆτας G. Dindorf Thes. s. v.; 'f. προσαγωγὰς coll. 95,22' Br προσβλήτως Bue

99 ἔχων κατὰ τὸ τεῖχος καὶ ταύτῃ ἀσθενὲς καὶ ἁ-
10 λώσιμον ἐὰν πέσῃ.
11 Δεῖ δὲ καὶ ταῖς ὑπορύξεσι τῶν τειχῶν λα-
12 θραίως χρᾶσθαι καθάπερ καὶ νῦν χρῶνται
13 ⟨οἱ⟩ μεταλλεύοντες· ἐὰν δὲ ἀντιμεταλλευόντων
14 τῶν ἔνδοθεν συντρηθῇ ἢ εἰς λεπτὸν συνέλθῃ
15 τὸ ὄρυγμα, χρηστέον ἐστὶ τοῖς βουπόροις καὶ τοῖς
16 γαισοῖς καὶ ταῖς ζιβύναις καὶ τοῖς τρισπι-
17 θάμοις καταπάλταις καὶ τοῖς διμναίοις πε-
18 τροβόλοις· καὶ καπνιστέον τοὺς ἐν τοῖς μετάλ-
19 λοις ὄντας· κοινὰ δέ ἐστιν ἀμφοτέρων ταῦτα καὶ
20 τῶν πολιορκουμένων καὶ τῶν πολιορκούντων.
21 Ἵνα δὲ μὴ ἐμπίπρηται μήτε τὰ μηχανή-
22 ματα μήτε αἱ ἐπιβάθραι μήτε αἱ χελῶναι,
23 ταῖς σιδηραῖς καὶ χαλκαῖς χρηστέον ἐστὶ καὶ ταῖς μο-
24 λιβδαῖς κεραμίσι καὶ τῷ φύκει διερῷ εἰς
25 δίκτυα ἐμβαλόντα καὶ τοῖς σπόγγοις νοτεροῖς
26 καὶ τοῖς κωδίοις ὄξει βρέξαντα ἢ ὕδατι· ἢ ἰξῷ
27 ἢ τῷ αἵματι τέφραν μίξαντα ἀλείφειν τὰ ξύ-
28 λα, ᾗ μάλιστα πῦρ οἴει προσπεσεῖσθαι.
29 Ποιοῦνται δὲ αἱ γερροχελῶναι ἐκ τῶν
30 πλεχθέντων γέρρων ἄνωθεν ἐς ὀξεῖαν γω-
31 νίαν συγκλεισθέντων πρὸς ἄλληλα, ὡσαύτως δὲ
32 καὶ ἐκ τῶν πρόσθεν· εἶτα βυρσῶν περιτα-
33 θεισῶν καὶ δοκίδων κάτωθεν μὲν ἐκ τῶν πλα-
34 γίων τετραγώνων συμπαγεισῶν, ἔνδοθεν δὲ
35 στρογγύλων ὑποτεθεισῶν οὐ χαλεπῶς ὑπὸ
36 τῶν στρατιωτῶν προ[σ]φέρονται διὰ τὸ μηδὲ

---

9 καὶ τὸ τεῖχος κατὰ ταῦτ' ᾗ ἀσθ. Br κατὰ τὸ τ. καὶ τοῦτ' ᾗ Bue | 10 ἐὰν π⟨ον⟩έσῃ Bue | 11 cf. An. Pol. p. 212,6—10 W | 13 ⟨οἱ⟩ add. R | 15. 16 καὶ τοῖς γ.] κέντροις Ca | 16 γαρσοῖς (s supra lin.) P γάρσοις (s supra lin.) V; in mg. s PV corr. Rigaltius Gloss. τακτ. p. 62 | 17. 18 περιβόλοις P | 23 ἔστι PV | ἐστὶ ⟨λεπίσι⟩ Br | 23. 24 μολυβδιναῖς Hercher ad Aen. Tact. p. 104,8 | 24 διερῷ (supra lin. add. s) et in mg.: s ἀντὶ τοῦ ὑγρῶ PV | 25 τ. σπόγγοις — 27 ἀλείφειν] cf. Polyaen. VI 3 ubi l. ἐπαλειφόμενος ἰξός (—ον ὄξος cod.). Cf. etiam Aen. Tact. 34,1 ubi probabiliter Meinekius inseruit ἰξῷ | 26 ὕδατι ἢ ἰξῷ· Ca | 27 τῷ αἵμ. τ. μ.] cf. Anon. Pol. p. 259,13 W | 28 εἰ PV corr. Ha et Hercher l. c. | πῦρ] περ PV | 29 f. ἐκ τῶν ⟨πλαγίων⟩ | 30 ὀξείαν PV | 31 συγκλεισθέντα PV corr. G. Dindorf Thes. s. v. γερροχελώνη | ὡσάύτως PV | 32 inter καὶ et ἐκ in V suprascr. m[1] η | 32. 33 περιτεθεισῶν PV | 36 προσφέρονται PV corr. Bue cf. p. 98,18

99 βάρος ἔχειν πολύ. αἱ δ' ἐπὶ τῶν λέμβων
38 χελῶναι κατασκευάζονται περιφερεῖς ἄνωθεν
39 ἐκ σανίδων ἰσχυρῶν συμπηγνύμεναι, ὑπόφαυσιν
40 κάτωθεν ἔχουσαι, ὅθεν οἱ λιθοβόλοι ἀφίενται.
41 αἱ δὲ χωστρίδες τὰ μὲν ἄλλα παραπλησίως· τρο-
42 χοὺς δὲ ἔχουσαι ⟨καὶ⟩ καταστεγεῖς ἔμπροσθεν γίνονται,
43 ἵνα οἱ χωννύοντες ἐξ αὐτῶν τὰς τάφρους μὴ
44 τιτρώσκωνται. αἱ δὲ κριοφόροι οὐδέτερον ἔχουσι
45 τούτων ἐκ τοῦ πρὸς τοὺς ἐναντίους, ὑπότροχοι
46 δὲ ποιοῦνται καὶ περιφερεῖς οὕτως ἔμπρο-
47 σθεν ἐνδέσεις καὶ ἀντίτονα ἔχουσαι ⟨πρὸς....
Δεῖ⟩ πρὸς τὰ
48 ἐπιῤῥιπτούμενα ἀμφίβληστρα
49 ἢ τοὺς κοντοὺς [τοὺς] πλαγίους παραβάλλειν
50 ἢ ταῖς λαμπάσιν ὑφάπτειν αὐτὰ ⟨ἢ⟩ [ἀντὶ τῶν ἐγ-
51 χειριδίων] ξιφοδρέπανα ἔχοντα ἐπικόπτειν· ἔστι
100 δὲ ταῦτα χρήσιμα καὶ πρὸς τὰς ἀναβάσεις
2 καὶ πρὸς τὰς τῶν σκελῶν ὑποτμήσεις· πρὸς
3 δὲ τοὺς ἀφιεμένους τροχοὺς καὶ λίθους τὰς
4 γεῤῥοχελώνας ἀφιέναι, πρὸς δὲ τὰ κερά-
5 μια καὶ τὰ κρυπτόμενα ὀρύγματα τοῖς σει-
6 ρομάσταις χρῆσθαι· πρὸς δὲ τὰς ⟨.....⟩ τιθεμένας
7 θύρας καὶ τοὺς τριβόλους τοὺς καταβαλλο-
8 μένους ἐνδρομίδας ἔχοντας ὑποβαίνειν καὶ
9 τὰς μὲν προπειράζοντας ταῖς δικέλλαις ἀνα-
10 σκάπτειν, τοὺς δὲ τοῖς κηπουρικοῖς κτεσὶν ἀνα-
11 καθαίρειν· πρὸς δὲ τὰς ὠρυγμένας τάφρους
12 ἐπιβάθρας ἐπιβάλλειν· πρὸς δὲ τοὺς προ-
13 βαλλομένους λίθους χεῖρας σιδηρᾶς ἐπιῤῥι-
14 πτοῦντας [φ]ονεύειν· πρὸς δὲ τοὺς κατακρημνω-

37 λεγέμβων V | 39 συμμιγνύμεναι PV corr. Ha | 41 αἱ δὲ χωστρίδες — 44 τιτρώσκωνται] cf. Anon. Pol. p. 209,4—6 W (cf. etiam p. 260,6 W) | 42 ⟨καὶ⟩ add. Br coll. Anon. | 43 τὰς] τοὺς V | 44 οὐδ' ἕτερον PV | 47 ⟨πρὸς ... Δεῖ⟩ add. Bue | 49 [τοὺς] del. Br | 50 λαμπάσιν ex λαμπᾶσιν corr. V | 50. 51 [ἀντὶ τῶν ἐγχ.] cf. ad p. 79,8. 99,24 | 3 ἀμφιεμένους V | 4 ἀφιέναι] 'f. ἀνθιστάναι vel aliud sim.' Br 'f. ἀμφιεννύναι; scriptum fortasse ἀμφιέσαι erat; Philo autem in hac enarratione ubique praesens habet' Bue | κεράμια] cf. p. 85,23 ss. Anon. Pol. p. 209,13 ss. W | 6 πρὸς δὲ — 11 ἀνακαθαίρειν] Anon. Pol. p. 210,2—212,6 W | 6. 7 τὰς ἐπὶ βοθρεύμασι τιθεμένας θύρας Anon. Pol. p. 212,4 W | 8 'f. ὑπερβαίνειν' Br | 9 προπειράζοντα PV corr. R | 11 ὀρυγμένας PV | 13 σιδηρὰς PV | φονεύειν PV corr. Br

100 μένους τριβόλους καὶ δοκίδας καὶ τοὺς προ-
16 τιθεμένους φορμοὺς τοῖς δρεπάνοις χρῆσθαι·
17 πρὸς δὲ τοὺς κριοὺς καὶ τὰ δρέπανα καὶ τοὺς
18 κόρακας τοῖς ἐνετῆρσι καὶ ταῖς κεραίαις καὶ
19 τοῖς περιβαλλομένοις βρόχοις καὶ τοῖς λοιποῖς
20 κρίκοις· πρὸς δὲ τοὺς πυροφόρους καὶ τοὺς τρι-
21 βόλους τοὺς καιομένους καὶ τὰς λαμπάδας
22 καὶ τὰς ἀνθυπορύξεις τοῖς εἰρημένοις· τὰς δὲ
23 παλιούρους σκάπτοντας εἰς τὰ τέλματα κατα-
24 χωννύναι, τοὺς δ' ἐκκόπτοντας εἰς τὰς ἐγχώσεις τῶν
25 τάφρων καταχρῆσθαι· πρὸς δὲ τὰς τῶν πετροβό-
26 λων εἰς τὰς στοὰς γινομένας πληγὰς πρὸς
27 μὲν τὰς ἄνωθεν ἐπιβάλλειν γέρρα τριπλᾶ καὶ
28 ἐπ' αὐτὰ φορμοὺς ἐμπιπλῶντα ἀχύρων ἢ
29 φύκους, πρὸς δὲ τὰς ἐκ τῶν πλαγίων προσ-
30 χωννύναι τοὺς τοίχους ἄχρι τῶν γέρρων, πρὸς
31 δὲ τὰς ἄλλας πάσας τοῖς μαλάγμασι χρῆ-
32 σθαι· πρὸς δὲ τὰ ἐνιέμενα ὕδατα ἐξαγω-
33 γίδας ὀρύσσειν· πρὸς δὲ τὰς ἀποτμήσεις τῶν
34 ἀγκυρίων ἐὰν βραχὺς ὁ τόπος, ἁλύσεις, ἐὰν δὲ
35 τεδίονες, τὰς ἀγκύρας τῶν πύργων χῶναι κα-
36 θέξουσιν· πρὸς δὲ τὰς ἐκτρυπήσεις τῶν ἐν
37 κύκλῳ φύλακας καταλειπτέον καὶ τὰς σα-
38 νίδας παρορμιστέον ἔξω ἔχοντας τριόδον-
39 τας τηρεῖν τοὺς ὑποδελεάζοντας· πρὸς δὲ
40 τὰς ὑποχωρήσεις καὶ τὰς ἐν τῇ γῇ γινομένας
41 ἀνακαθάρσεις τῶν πιπτόντων λίθων ἀπὸ τῶν
42 τοίχων καὶ τῶν προτειχισμάτων χρήσιμά ἐστιν ἐκ μὲν
43 θαλάσσης ⟨.....⟩ [τ]οῖς ἀνακαθαίρουσι τοὺς λιμένας
44 καὶ σιδηραῖ ἁρπάγαι, ἐκ γῆς δὲ ὅταν ὑποτάξω-

---

17 δρέπανα] τρύπανα Graux oeuvres I p. 301 vix recte | 19 τροχοῖς PV corr. Ro | 20 κριοῖς PV corr. Bue | 22 καὶ τὰς||τὰς ἀ. V | 23 εἰς ⟨τὸ⟩ τὰ Br | τέλματα] λεἰμ-ματα PV corr. Br | 24 τοὺς δ'] τὰς δ' PV τοὺς δ⟨ὲ σκόλοπας⟩ Br | 25 χρῆσθαι V | 27 τριπλὰ P | 35 τεδίονες] supra ο adscr. ς P (et in mg.) V; τεναγώδης (τέναγος Die) et pro βραχὺς v. 34 βαθὺς Br, valde probabiliter; τε⟨ναγώδης, π⟩λείονες Bue | 36 ἐν] f. νεῶν | 37 κατὰ τὰς σανίδας ⟨ἢ⟩ π.? at librorum lectiones 36—38 iure tueri videtur Bue | 39 'f. ὑποδενδρυάζοντας coll. Et. M. δενδρυάζειν; inscr. Epidaur. ap. Collitz 3340,20' Die; idem ci. Br coll. Eustath. ad Il. p. 326,28 | 40 ὑποχω-ρήσεις] '= κόπρος ἀνθρωπεία' Mi; ὑποχώσεις Ro | 41 ἀνακαρθάρσεις V | 42 f. τειχῶν | 43 θαλάσσεις V | οἷς] τοῖς PV τὰ οἷς Bue | 44 σιδηραῖς ἁρπάγαις PV

100 σι πρὸς τὰ πτώματα, αἱ χωστρίδες χελῶναι
46 καὶ οἱ μοχλοὶ καὶ αἱ δίκελλαι καὶ αἱ ἅμαξαι.
47 Ἐὰν δέ τινος τῶν μηχανημάτων ἡ πρὸς
48 τοὺς πολεμίους καθήκουσα πλευρὰ πέσῃ, στρέ-
49 ψαντας δεῖ πρὸς τοὺς ἐναντίους τὴν ὑγιῆ
50 τὴν τετριμμένην ἐπισκευάζειν· πρὸς δὲ τὰ
51 ἄλλα συμπτώματα ἐκ τούτων αὐτῶν δεῖ ἐν-
101 θυμουμένους αἰεί τι μηχανᾶσθαι μὴ ἀνοή-
2 τως.

Καὶ ἐὰν μὲν πολὺν χρόνον μέλλῃς πο-
3 λιορκεῖν τὴν πόλιν, δόξαν ἐμποίει τοῖς πολε-
4 μίοις ὡς ὀλίγον χρόνον πολιορκήσων, ἵνα δα-
5 ψιλῶς ἀναλίσκωσι τὰ πρὸς τὴν τροφὴν ἀνή-
6 κοντα καὶ μὴ παρασκευάζωνται πρὸς τὰς ἐσο-
7 μένας προσβολὰς μηδὲ βοήθειαν μεταπέμ-
8 πωνται· ἐὰν δὲ πολιορκῇς, ὡς πολὺν χρόνον
9 προσκαρτερήσων ἀπείλει, ἵνα φοβηθέντες τὸ
10 μέλλον θᾶττον ἡμῖν συγχωρήσωσιν ὃ βουλόμε-
11 θα. πειρῶ δὲ καὶ τὴν ἔνδον οὖσαν λείαν ⟨καὶ⟩ ἐὰν
12 ὑποζύγιά τινα ᾖ, παρελέσθαι ἢ ἐξ ἀγορᾶς
13 ὡς ἐλαχίστου μάλιστα δύνῃ, ἢ ἐν ταῖς γινο-
14 μέναις ἀνοχαῖς πρόφασίν τινα λαβὼν πιθα-
15 νὴν μηκέτι εἰσελάσαι ἀφ' ἧς μὴ φυ-
16 λάσσων τοὺς τόπους τούτων ἧς ἐξελαύνοντες
17 βοσκήσουσιν, ἀλλ' ἔασον αὐτοὺς ἔξω νέμειν καὶ
18 ἐπὶ τὴν ἐνέδραν ἢ ἐνέδραν κατασκευάσας
19 ἀποτεμόμενος κυρίευσον αὐτῶν·
20 οὐθὲν γὰρ ἀναλίσκει τῶν ἐν τῇ πολιορ-
21 κίᾳ χρησίμων ὄντων, ἀλλ' ἢ ἄχυρον ἢ χόρ-
22 τον, οἷς εἰς οὐθὲν ἄλλ', εἰς δὲ τὰ βοσκήματα
23 χρῶνται· πρὸς ὑγίειαν δὲ καὶ τροφὴν μεγάλα

47 τινες VP corr. Th | 48 πέση PV f. πονέσῃ | 51 αὐτοὺς Br 'f. αὐτὸν δ. ἐνθυμούμενον' Bue | 1 ἐνθυμουμένοις PV | 2 μέλλης PV | 5. 6 ἀνήκοντα] sic V, sed η ex α corr. | 6 παρασκευάζονται PV | 7 πρὸσβολὰς PV | 7. 8 μεταπέμπονται PV | 8 πολιορκῇς, ὡς] πολιορκήσωσι PV corr. Bue | 9 προσκατερήσων P | 11 πειρὼ PV | 12 τινα ἡ PV | 12. 13 ἐξαγορᾶς ἕως PV 'f. ἐξαγοράσαι ὡς' Br; f. ἐξαγοράσας ὡς | 15 ἀφῇς R ἀφεὶς Die Bue | 16 ἧς] οἷς R f. ᾗ | 18 ἐπὶ τὴν ἐνέδραν] 'f. ἔπειτ' ἐν φανερῷ vel ἐπιτήδειον ἐπιδρομὴν (cf. 103,47) vel aliud' Bue | ἐνέδρανι κατασκ. P ἐνέδραν; κατ. V | 20 ἀναλίσκειν V | 21 ἀλλ'] ἄλλο PV | 22 οἷς εἰς] οἴσεις PV | ἀλλ' PV | εἴσ(εἴσ P)τε τὰ PV corr. Bue

101 συμβάλλεται διά τε τοῦ γάλακτος καὶ κατα-
25 κοπέντων καὶ πωλουμένων τῶν κρεῶν· ἔτι δὲ τὰ
26 δέρματα αὐτῶν πρὸς τὰ μηχανήματα καὶ
27 τοὺς κριοὺς καὶ ὅσα ἐστὶ τοιαῦτα χρήσιμα γίνεται.
28 Μὴ φείδου δὲ χρημάτων μήτε κατὰ δω-
29 ροδοκίαν μήτε κατὰ τὰς ἄλλας δαπάνας·
30 ἑλὼν γὰρ τὴν πόλιν πολλαπλάσια λή-
31 ψῃ.

Καρβατίναι δέ σοι οἰκίαι ⟨....⟩ καὶ ἐκ τῶν
32 καρβατίνων βάλλοντες καὶ οἱ λιθοβόλοι καὶ
33 οἱ τοξόται καὶ οἱ σφενδονῆται ὡς πλεῖστοι
34 καὶ ἄριστοι κατὰ τὰς προσβολὰς ἔστωσαν
35 ἐνεργοῦντες, ἵνα ⟨μὴ⟩ τραυματίζωνται· διοίσει γὰρ
36 οὐδὲν εἴτε λεπτὰς ἢ ἀχρείους γίνεσθαι τοὺς κιν-
37 δυνεύοντας· καὶ αὐτὸς ἐκτὸς βέλους ὢν ἢ
38 ἀσφαλῶς παραπορευόμενος παρακάλει τοὺς
39 στρατιώτας καὶ τοὺς μὲν ἀγαθοὺς γινομένους ἄν-
40 δρας ἐπαίνει τε καὶ τίμα, τοὺς δὲ κακοὺς λοι-
41 δόρει τε καὶ κόλαζε· οὕτως γὰρ ἂν ἄριστα
42 κινδυνεύσουσιν οἱ στρατιῶται πάντες.

Ἁλισκο-
43 μένης δὲ τῆς πόλεως φοβοῦ μὴ εἰς διαρ-
44 παγὴν ὁρμήσαντες οἱ στρατιῶται αὐτοί τε ὑφ'
45 ἑαυτῶν καὶ ὑπὸ τῶν ἐναντίων παραπόλωνται
46 ἢ πάλιν ἐκβληθῶσιν ἐκ τῆς πόλεως ἢ κα-
47 τασχόντες αὐτοῖς δυσμενεῖς καὶ ἀχρείους πρὸς
48 τὰς λειτουργίας καὶ τὰς εἰσφορὰς ποιήσωσι τοὺς
49 πολίτας καὶ γένηται μάταιος ὁ πόνος διαρπα-
50 σθέντων τῶν χρημάτων καὶ μῖσος ποιησάμενος μήτε
51 τὰς σιταρχίας ἔχῃς ἀναδιδόναι τοῖς στρατιώταις
102 μήτε ὠφελείας ὁμιλητὴς οὖν σοι γένηται τούτου
2 συμβαίνοντος.

---

30 πολλὰ πλάσια V corr. m[1] | 31 καρβάτιναι Kreussler in Passow. Lex. s. v. | 32 'f. καρβατιώνων coll. p. 92,28' Dindorf Thes. s. v.; καρβατινῶν Ca Schneider Lex. s. v. | 36 εἴτε λεπτὰς] εἴτε λεπτοὺς R ἢ τελευτᾶν Bue | 37. 38 f. ἢ ἀσφαλῶς del. | 38 παραπορ.] παριππεύων Polyaen. IV 3,8 VI 4,1 παραθέων VII 21,7: περιπορευόμενος Br | 42 κινδυνεύσωσιν PV 'κινδυνεύσαιεν aut — ειαν ut p. 94,31' Bue | 45 ὑπο P | παραπολοῦνται PV corr. Ha | 47 αὐτοῖς PV | 1 'videtur esse ὠφέλεια σώμᾶ (i. e. σώματος) ἥτις οὖν' Bue ὠφέλεια μηδ' ἥτις οὖν coll. p. 80,6 Br

102 Καταλαμβάνειν δ' ἐν ταῖς ἁλώσεσι μάλιστα
4 δεῖ τὰ τείχη καὶ τὴν ἀκρόπολιν καὶ τὴν ἀγορὰν καὶ τὸ
5 στρατήγιον καὶ ἐάν τις ᾖ ἄλλος τόπος ἰσχυρός·
6 ἐὰν δὲ ἐλάττων ᾖ ἡ δύναμις, [εἰς] τοὺς πύργους καὶ
7 τὸν ἐπικαιρότατον τόπον, ἵνα μὴ πάλιν ἐκπέσῃ
8 τῆς πόλεως.
9 Ἐὰν δὲ μὴ δύνῃ πολιορκῶν κατὰ κράτος λα-
10 βεῖν τὴν πόλιν διὰ τὸ ἰσχυρὰν εἶναι αὐτὴν πάντοθεν,
11 ἐπιχειρητέον ἢ κατὰ ⟨κλοπὴν ἢ⟩ προδοσίαν ἢ λιμὸν αὐτὴν
12 ἑλεῖν· κατὰ κλοπὴν μὲν νυκτὸς ἢ τὰς σκυτίνας
13 κλίμακας προ⟨σ⟩θέντας, αἳ ῥάπτονται καθάπερ οἱ
14 ἀσκοὶ καὶ ὑπαλοιφῇ κατὰ τὰς ῥαφὰς ὑποστε-
15 γνωθεῖσαι φυσῶνται, εἶτα προ⟨σ⟩τιθέντα ἐπὶ ταῖς στυπ-
16 πίναις κλίμαξιν αἳ κατασκευάζονται διὰ πλοκῆς
17 καὶ ῥαφῆς, καὶ πρὸς τὰ πέρατα αὐτῶν ἄγκιστρα προ-
18 σάπτοντα, ἵνα ἐπιρριπτουμένων τῶν ἄκρων ἐπι-
19 λαμβάνηται τῶν προμαχώνων· ἢ τοῖς σιδηροῖς πασ-
20 σάλοις, οἳ στομωθέντες καὶ ὀξυνθέντες καὶ εἰς τὰς πέ-
21 τρας κατὰ τὰς διαφύσεις καὶ εἰς τοὺς λιθίνους τοίχους
22 κατὰ τὰς συμβολὰς καὶ εἰς τοὺς πλινθίνους ἐγκόπτονται
23 σιδηραῖς σφύραις ὑπὸ τῶν ἀναβαινόντων· ⟨ἢ⟩ τοῖς ἀγ-
24 κίστροις τοῖς σιδηροῖς, ἅπερ ἐπὶ χαλωδίων ⟨πρὸς τὰς ἐπάλξεις⟩ ἐπιρρι-
25 πτεῖται ἅμματα ἐχόντων, ὥστε μὴ χαλεπῶς καὶ κατὰ
26 ταῦτα ἔχειν ἀναβαίνειν τοὺς στρατιώτας ἐθισθέντας,
27 καθάπερ Αἰγύπτιοι ποιοῦσιν αὐτό. κατὰ δὲ [τὴν] προδο-
28 σίαν ἢ μεταπεμψάμενός τινα τῶν ἔνδοθεν ὡς δια-
29 λεξόμενον περὶ διαλλαγῶν ἢ δι' ἐπιστολῶν ἀφανῶν
30 κήρυκας ἢ πρεσβευτὰς εἰσπέμπων καὶ σύμβολα δι-

---

3 καταλαμβάνει PV corr. R | 5 στράτηγιον V | ᾖ ἡ] ἦν PV corr. Br; articulum desiderari docuerat Bue; ᾖ Ha | 6 [εἰς] del. Br | 11 ⟨κλοπὴν ἢ⟩] ⟨soit par surprise⟩ Ro | 12 κατὰ κλοπὴν] cf. Anon. Pol. p. 212,16 W | τὰς σκ. κλ. — 19 προμαχ.] ib. p. 213,2—214,2 W | 13 προθέντας PV προθέντα Bue | αἱ V | 14 ὑπαλοιφῆ PV | 15 εἴτε PV corr. R | προτίθενται PV προϋποτίθενται An. p. 213,8 W corr. Bue | 15. 16 στυπτίναις PV | 18 ἐπιρρηπτουμένων PV | 19 σιδ. πασσ. — 27 αὐτό] cf. An. Pol. p. 260,8 — 261,1 W | 20 οἱ PV corr. R | ὀξυθέντες PV corr. Wescher l. c. ad p. 260,11 | 22 ἐκκόπτονται PV | 24 ⟨πρὸς τὰς ἐπ.⟩ add. ex Anon. Pol. p. 260,12 | 24. 25 ἐπιρριπτοῦνται PV | 25 ἅμματα PV corr. Wescher l. c. | 26 εἰθισθέντες PV corr. Wescher l. c. ad p. 260,11 | 28. 29 διαλεξόμενος R | 29 περι PV | διαλλαγμῶν P | 30 κήρυκα V f. recte | εἰσπέμπτων P

102 δοὺς καὶ χρήματα. γράφονται δ' αἱ ἐπιστολαὶ εἰς καυ-
32 σίαν καινὴν εἰς τὸν χρῶτα κηκῖδος θλασθείσης καὶ ὕ-
33 δατι βραχείσης· ξηρανθέντα δὲ τὰ γράμματα ἄ-
34 δηλα γίνεται, χαλκοῦ δὲ ἄνθους τριφθέντος ὥσπερ
35 ἐν ὕδατι τὸ μέλαν καὶ ἐν τούτῳ σπόγγου βραχέντος
36 ὅταν ἀποσπογγισθῇ τούτῳ φανερὰ γίνεται. ἢ εἰς ὑ-
37 μένα γραφείσης, εἶτα διπλῆς οὔσης τῆς καυσίας εἰς
38 τὸ ἄνω μέσης τε οὔσης τῆς στεφάνης καὶ ἑτέρας κολλη-
39 θείσης· ἢ ἀνὰ μέσον τῶν ὑποδημάτων τοῦ ἐμβλήματος
40 καὶ τοῦ κασσύματος ῥαφείσης· ἢ εἰς κύστιν ὧν βούλεταί
41 ⟨τις⟩ γραφέντων, εἶτα εἰς λήκυθον καινὴν σύμμετρον
42 τῇ κύστει τεθείσης, εἶτα φυσηθείσης καὶ μετὰ ταῦτα
43 βρεχθείσης καὶ ἀποσταλείσης πρὸς τὸ ἔσω, στόμα⟨τος⟩
44 κόλλῃ καταλειφθέντος καὶ ἐλαίου ἐγχυθέντος, ἵν' ἄδη-
45 λος ἡ ἐπιστολὴ γένηται, τοῦτον τὸν τρόπον εἰσπέμπειν·
46 ὁ γὰρ λαβὼν τὴν λήκυθον [τρόπον εἰσπέμπειν] ῥᾳδίως γνώσεται τὰ γε-
47 γραμμένα. πολλοὶ δὲ καὶ ἄλλοι τρόποι εἰσὶ τῶν κρυ-
48 φαίως ἀποστελλομένων γραμμάτων, ὡς δηλώσομεν
49 ἐν τῷ εἴδει τῷ περὶ ἐπιστολῶν τῶν κρυφαίως ἀπο-
50 στελλομένων. ἐὰν δὲ μὴ καθαίρωσιν ὑπὸ τῶν οὕτως
51 πεμπομένων γραμμάτων, ἄλλας πέμπε πρὸς τοὺς
103 ἡγουμένους τῶν πραγμάτων ὑπισχνούμενος
2 δωρεὰς μεγίστας καὶ χρήματα· αἳ καταφανεῖς
3 γινόμεναι τοὺς μὲν στασιάζειν ποιήσουσιν.
4 κατὰ δὲ λιμὸν περιχαρακώσας καὶ τόπον ἰσχυ-
5 ρὸν περιτειχίσας τινὰ τῇ πόλει καὶ φύλακας ἀ-
6 σφαλεῖς ἐπ' αὐτῷ κατασκευάσας, οἳ κωλύσουσι
7 μήτε κατὰ γῆν μήτε κατὰ θάλασσαν μηδὲν εἰ-

---

31 δ' αἱ] δὲ PV corr. Bue | 32 καινὸν V | ⟨ἢ⟩ εἰς Ca | κικίδος PV κηκίδος Schneider ecl. phys. I p. 139; corr. Die | 36 ἀποσπογγιθῇ PV corr. R | γίνηται PV corr. R | 37 εἶτα] ἐπὰν PV corr. Bue | 37. 38 εἰς—οὔσης] f. εἰς τὸ ἀνὰ μέσον τεθείσης | 40 κασύματος PV | ἢ εἰς κ.—47 γεγραμμένα] cf. Aen. Tact. 31,10—13 Leo strateg. I 2 | εἰς κύστιν ὧν] εἰσκυτίνων PV εἰς κύστιν τιν' ὧν Ca | 41 κενὴν Ro | 42 f. τῆς κύστεως | ⟨αὐτῆς⟩ τεθ. Ca | 43 ἀποσταλείσης] ὑποσταλείσης Bue | στόμα PV corr. Bue | 44 κόλλη P κολλῆ V | καταληφθέντος PV | 46 ραδίως PV ⟨θραύσας⟩ ῥᾳδίως Die | 49 εἴδει] ἰδίῳ Bue | τῷ περὶ] τῶν περι P τῶι περι V | 50 καθαιρ⟨εθ⟩ῶσιν Bue; καθυφῶσιν Die | 51 ἄλλας π. κτέ] cf. Polyaen. V 2, 18 | 1 ἡγεμόνους V | 3 μὲν] ἔνδον Br; an excidit aliquid? | 4 λιμὸν] δῆμον P[1]V corr. Th mg 'ποιήσουσιν, κατὰ δὲ δῆμον ⟨..... κατὰ δὲ λιμὸν⟩ (potest fuisse καταλύεσθαι δὲ δῆμον· κατὰ δὲ λιμόν)' Bue | 5 τῇ P[1]V | 6 ἐπαυτῶι P[1] | 7 θαλασσαν P[1]

103 σκομίζεσθαι. ταῦτα δὲ ποιήσας γίνου πρὸς τοῖς
9 ἄλλοις πράγμασι καὶ λήψῃ τὴν πόλιν ἢ τῷ
10 πολέμῳ κατορθώσας ἢ ἐκθλίψας λιμῷ, καὶ
11 οὐθὲν καθυστερήσεις τῶν πράξεων.

12 Ἐὰν δὲ βοήθειάν τινα προσδέχῃ παρασκευά-
13 σασθαι τοῖς ἐναντίοις, ἐὰν μὲν καταδεεστέραν
14 δύναμιν ἔχῃς, διάλυσαι τὴν ταχίστην ἐὰν βού-
15 λωνται χρήματα λαβὼν ὡς ὅτι πλεῖστα ἀναζευ-
16 γνύων πρὸς τὸ πλησιάσαι τοὺς πολεμίους· ἐὰν δὲ
17 μὴ διδῶσιν, λεηλατήσας καὶ κακώσας τὴν χώραν αὐ-
18 τῶν ἀπαλλάττου πρόνοιαν ποιούμενος ὅπως
19 ἀσφαλῶς ἀπάξεις τὸ στρατόπεδον. ἐὰν δὲ παρα-
20 πλησίαν ἢ κρείττω δύναμιν ἔχῃς καὶ κατὰ γῆν
21 προσδέχῃ τοὺς πολεμίους, τῇ χαρακώσει καὶ τῇ τάφρῳ καὶ τῇ
22 τειχοποιίᾳ πάντοθεν ὡς ἀσφαλέστατα
23 παρασκευασάμενος ὑπόμενε, τὴν χρείαν καὶ τὸν
24 χόρτον καὶ τὸν σῖτον καὶ τὸν οἶνον καὶ ὅσα ἄλλα τροφῆς ἐστιν ἐχό-
25 μενα πρὸς τὸ στρατόπεδον προσαγόμενος· καὶ
26 τάφρῳ καὶ χάρακι περιβάλλων αὐτὰ τὰ μὲν ἱκα-
27 νὰ κατάλειπε, τὰ δὲ ⟨.....⟩ ἀπόδου, τὰ δὲ ἄλλα τοῖς
28 στρατιώταις εἰς τὰ τάγματα διάδος· τὸν δὲ κατά-
29 λοιπον χόρτον καὶ σῖτον, ὅσον ἂν μὴ δύνῃ προσ-
30 κομίσαι ⟨.....⟩ κατάκαυσον· τὸν δὲ σῖτον διάφθειρον τοῖς
31 θανασίμοις φαρμάκοις, ὡσαύτως δὲ καὶ τὰ ὕ-
32 δατα ὅταν ἐγγίσωσιν οἱ πολέμιοι· τίνα δὲ ταῦτά
33 ἐστιν, ἐν τοῖς παρασκευαστικοῖς ἡμῖν δεδήλωται.
34 διαπραξάμενος δὲ ταῦτα ὡς ἰσχυροτάτους φύ-
35 λακας κατάστησον· καὶ τῆς μὲν νυκτὸς ἐκκοιτίαι
36 γινέσθωσαν, τῆς δ' ἡμέρας σκόπει ἐν τοῖς
37 ἐπιτηδείοις τόποις· καὶ κατασκόπους ἀπόστελλε

---

9 λήψῃ P[1]V | 12 προσδέχῃ P[1] | 12. 13 f. παρεσκευάσθαι; παρέσεσθαι Ha | 13 καταδυναστέραν P[1]V corr. Ha et Chr. B. Hase Thes. s. v. καταδυν. | 14 ἔχῃς P[1] | διαλῦσαι P[1]V | 16 πρὸ τοῦ Th mg | 17 δίδωσιν P[1]V | 18 ἀπαλλάτου V | 19 ἀπάξῃς P[1]V | στρατόπεδον] 'scr. στράτευμα: solent haec miscere Byzantini (cf. mus. Rhen. XLVI p. 386 in Sabbaitico Apollodoro στράτευμα, in Vaticano στρατόπεδον)' Bue | 20 ἔχῃς P[1]V, in V post η videtur erasa esse ι | 21 προσδέχῃ P[1] | 23 χρείαν] f. λείαν | 26 τάφρω P[1] | 27 τὰ δ' ἐ⟨μποδὼν⟩ Bue | ταδὲ ἄλλα P[1] | 27. 28 τοῖστρατιώταις P[1] | 29. 30 προσκομῆσαι P[1] | 30 f. ⟨τὸν μὲν⟩ vel ⟨τὸν μὲν χόρτον⟩ | καταύκαυσον P[1] | διαφθείρων P[1]V corr. Ha | 31 ὡσαύτως V | 33 ἐν τοῖς παρασκ.] cf. p. 90,20 | 34 ἰσχυρωτάτους P[1]V | 36 σκοποὶ Bue; an σκοπαί?

103 βελτίστους καὶ ἔμφρονας, ἵνα μὴ λάθωσι παρελ-
39 θόντες τινὲς τῶν ἐναντίων πλῆθος ἐγγίσαν· καὶ
40 πειρῶ πρῶτον τοὺς στρατηγοὺς ἢ τοὺς ἡγεμόνας
41 φθεῖραι χρήματα διδοὺς καὶ δωρεὰς ὑπισχνού-
42 μενος· οὕτως γὰρ ἐὰν κρίνῃ, γίνεται νικᾶν καὶ
43 οὐδὲν ἔστιν ἕτερον στρατήγημα τοιοῦτον· καὶ τὰ
44 χρήματα ἐκ τῶν πολιορκουμένων ἔσται τῆς πό-
45 λεως ληφθείσης. ἐὰν δὲ μὴ δύνῃ δεκάσαι τοὺς ἡ-
46 γουμένους τοῦ στρατοπέδου, ἐνέδρας κατασκευά-
47 σας ἢ τόπους ἐπιτηδείους προκαταλαβόμενος ἐπί-
48 θου καταστρατοπεδεύουσιν αὐτοῖς νυκτὸς πρὸ τοῦ
49 τάφρου ἐπιλαβέσθαι χάρακα θέσθαι τοῖς βοη-
50 θοῦσιν· οὗτοι γὰρ οἱ καιροὶ τοὺς ἀντιπάλους
51 χειροῦνται.

104 Ἐὰν δὲ κατὰ θάλασσαν μέλλῃς διακινδυνεύειν,
2 χῶσον ἐὰν ᾖ δυνατὸν τὸ στόμα τοῦ λιμένος· εἰ
3 δὲ μή, φράξον ταῖς ὁλκάσιν ⟨ἢ⟩ ὅσοις ἂν ἔχῃς ἐπι-
4 τηδείοις πρὸς ταῦτα πλοίοις, καὶ παράζευξον
5 σχεδίαν ἐκ τῶν ὑπαρχόντων ξύλων κατα-
6 σκευάσας. καὶ τήρει τοὺς φρυκτοὺς μάλιστα τῆς
7 νυκτός, μή σε λάθωσιν οἱ βοηθοῦντες κατὰ τὸ
8 ἐκτὸς τῆς θαλάσσης μέρος τῆς πόλεως παρεμ-
9 πεσόντες. ἐὰν δὲ τύχῃς ἔχων μικρῷ καταδεεστέ-
10 ραν δύναμιν ναυτικήν, ἐπὶ τὰ καταστρώματα
11 λαβόντα τοὺς ἀρίστους καὶ ἐμπειροτάτους τῶν στρα-
12 τιωτῶν, παραγγείλαντα μήτε ἀκρωτηριάζειν
13 μήτε ἀναβαίνειν ἐπὶ πολεμίαν ναῦν μηδεμίαν,
14 ἀλλὰ τῷ χαλκώματι χρᾶσθαι, ναυμαχητέον
15 ἐστὶ πρὸς αὐτούς, ποιήσαντα μηνοειδὲς σχῆμα
16 καὶ τὰς ἐπίπλους καὶ τὰς εὐπροσόδους καὶ τὰς

---

38 f. λάθωσί ⟨σε⟩ | 39 'f. ⟨(καὶ?) ἀγγέλλοντες τὸ τῶν βοηθούντων⟩ πλῆθος' Br | 41 δωρεᾶς P^1 | 42 ἐὰν κρίνη P^1 ἐν εἰρήνῃ Bue | 43 οὐδὲ P^1V | 45 δεκάσας V δεκάτας P^1 corr. Mi | 49 τάφρον V 'f. τάφρων' Bue | ἐπιλαβέσθαι] τάφρον περιβαλέσθαι ⟨καὶ⟩ Br (deleto τοῖς βοηθ., quod potuerit glossema esse ad αὐτοῖς v. 48 pertinens) | χάρακα θέσθαι τοῖς] παρακαθῆσθαί τε οἷς 'prius quam fossis manum imponant castraque committant cum eis quibus auxiliantur' Bue | 1 μέλλης P^1V | 3 ὁλκάσιν V | ἂν] ἐὰν P^1V | ἔχης P^1V | 6 φρακτοὺς P^1V corr. R | 7 λάβωσιν P^1V corr. Ha | 9 τύχης P^1V | μικρῶ P^1V | 10 κάτω στρώματα P^1V corr. Ha | 13 μὴ δὲ μίαν P^1V | 14 τῶ P^1 | 15 ποιήσαντα μην. σχ. — 19 εἰς μέσον] vd. Scheffer de militia nav. p. 223 ss; cf. K. K. Mueller *Eine griech. Schrift ueber Seekrieg* p. 14,5—11

104 ἄριστα πλεούσας τῶν νεῶν ἐπὶ τὰ κέρατα τά-
18 ξαντα, τὰ δὲ ἄφρακτα καὶ τὰ ὑπηρετικὰ εἰς
19 μέσον πρὸς τῇ σχεδίᾳ. εἶθ' ὅταν ἐγγίσωσι, τοῖς
20 πυροφόροις καὶ τοῖς ἡμμένοις τριβόλοις καὶ τῇ
21 πίσσῃ ἅπτε ἐὰν ἔχῃς· καὶ τοῖς λιθοβόλοις καὶ ταῖς λαμπάσι
22 καὶ τοῖς ὀξυβελέσι καὶ τοῖς ἄλλοις βέλεσιν ὡς πλεί-
23 στοις χρώμενον κακοῦν δεῖ τοὺς ἐπιβάτας καὶ
24 συντρίβειν καὶ ἐμπιπράναι τὰ τῶν ἐναν-
25 τίων σκάφη τύπτοντα ἐκ τῆς γῆς καὶ ἀπὸ τῶν
26 μηχανημάτων καὶ ἀπὸ τῶν ἄλλων πλοίων, κα-
27 ταῤῥάξαντα αὐτοὺς ὡς μάλιστα, ἐάν τε ὑπο-
28 βιάζωνται. ἐὰν δὲ ὑπομένωσιν, ἔξω τὸν κίν-
29 δυνον ἀπὸ ἀμφοτέρων ποιούμενον τῶν κερά-
30 των συναγαγόντα[ς] ναυμαχητέον οὕτως ἐστίν· τὰς
31 μὲν πλαγίας λαμβάνων καταδύσεις, τὰς δὲ ἀν-
32 τιπρώρους κινδυνευούσας συντρίψεις καὶ ἐμ-
33 πρήσεις καθάπερ εἴρηται· ἐὰν δὲ λάβῃς ἀτά-
34 κτως φερομένας ἢ ἱστιοδρομούσας, ἐπιπλεύσας
35 ἐν τάξει παντὶ τῷ στόλῳ τὰς μὲν ἀμυνομένας
36 πειρῶ καταδύνειν καὶ καταπιμπράναι· τὰς δὲ
37 φευγούσας ὅταν καταλαμβάνῃς, τὰ πηδάλια
38 συντρίβων καὶ τὸν ταρσὸν παρασύρων εἰς τὴν γῆν
39 κάταγε· ἐὰν δὲ μὴ ἔχῃς ναῦς, τῷ πυρὶ καὶ τοῖς
40 βέλεσι χρώμενος κώλυε αὐτοὺς ⟨......⟩ ποιήσασθαι· τοῦ-
41 τον ἄν τις τὸν τρόπον πολιορκῶν τὰς πόλεις
42 ἂν λαμβάνοι μάλιστα μηθὲν αὐτὸς ἀνήκεστον παθών.

---

17 πέρατα P¹V corr. L. Dindorf Thes. s. v. εὐπρόσοδος | 18 τάξας P¹V | 20 προφόροις P¹V corr. Th mg | 21 ἔχης P¹ | καὶ ταῖς λαμπάσι f. supra vs. 20 post τριβόλοις inserenda | 22 ὀξυβέλεσι V | 22. 23 πλείστους V | 25 τύπτοντας P¹V | 27. 28 ἐάν τι που βιάζωνται Bue | 28 ante ἔξω dist. Bue | ἐάν τε P¹V | 28. 29 κινδύνον V | 29 ποιούμενος P¹ ποιουμένους V corr. Bue | 30 τὰς] τὰ P¹ | 31 καταδώσεις P¹V corr. Th | 31. 32 ἀντὶ πρώρους V | 32 κινδυνεύουσας V | 33 λάβης P¹ | 34 ἱστοδρομούσας P¹V | 36 καὶ] f. ἢ | 37 καταλαμβάνης P¹V | παρασύρων] ύ ex ὺ corr. V | 39 ἔχης P¹V | τῶ P¹ | 40 f. ⟨ἀπόβασιν⟩ | 41 τὰς πόλεις κτέ.] cf. Anon. Pol. p. 276,16 s. | 42 παθῶν P¹V

